Tunc videns Iudas ‖qui tradens [fuit] eum, quòd damnatus esset, ℘pœ-
τότε ἰδὼν Ἰούδας ὁ παραδιδοὺς αὐτὸν, ὅτι κατεκρίθη, μετα- 3
nitens, retulit triginta argenteos principibus Sacerdotũ
μεληθεὶς, ἀπέστρεψε τὰ τριάκοντα ἀργύρια τοῖς ἀρχιερεῦσι,
& senioribus, Dicens: Peccaui, tradens sanguinem
καὶ τοῖς πρεσβυτέροις, λέγων, ἥμαρτον παραδοὺς αἷμα 4

* iustum. At illi

*innoxium. Illi verò dixerunt: Quid ad nos? tu videris.
ἀθῷον. οἱ δὲ εἶπον, τί πρὸς ἡμᾶς; σὺ ὄψει.

*proiectis argenteis
‖ laqueo se suspendit.

Et *proiiciens argenteos in templo, recessit: & ab-
καὶ ῥίψας τὰ ἀργύρια ἐν τῷ ναῷ, ἀνεχώρησε· καὶ ἀπελ- 5
iens ‖se strangulauit. At principes ℘Sacerdotũ *accipientes argenteos,
θὼν ἀπήγξατο. οἱ δὲ ἀρχιερεῖς λαβόντες τὰ ἀργύρια, 6

℘ autem
*acceptis argenteis,
* mittere

dixerunt: Non licet *iniicere eos in corbanam: quia pretiũ
εἶπον, οὐκ ἔξεστι βαλεῖν αὐτὰ εἰς τὸν κορβανᾶν· ἐπεὶ τιμὴ

‖ Consilio autem inito, emerunt

sanguinis est. ‖Consilium autem sumentes, mercati sunt ex
αἵματός ἐστι. συμβούλιον δὲ λαβόντες, ἠγόρασαν ἐξ 7

℘ peregrinorum.

illis agrum figuli, in sepulturam ℘peregrinis.
αὐτῶν τὸν ἀγρὸν τοῦ κεραμέως εἰς ταφὴν τοῖς ξένοις.

* Propter hoc
* Hacel dama, hoc est,
‖ in hodiernum diem.
℘ quod dictum est

*Quapropter vocatus est ager ille, *Ager sanguinis, vsque
8 διὸ ἐκλήθη ὁ ἀγρὸς ἐκεῖνος, ἀγρὸς αἵματος, ἕως τῆς
‖hodie. Tunc impletum est ℘effatum per Ieremiam Pro-
9 σήμερον. τότε ἐπληρώθη τὸ ῥηθὲν διὰ Ἱερεμίου τοῦ προ-
phetam, dicentem: Et acceperunt triginta argenteos pre-
φήτου, λέγοντος, καὶ ἔλαβον τὰ τριάκοντα ἀργύρια, τὴν τι-
tium appretiati, quem appretiauerunt à filiis Israel.
μὴν τοῦ † τετιμημένου, ὃν ἐτιμήσαντο ἀπὸ υἱῶν Ἰσραήλ.

τιμάομαι

Et dederunt eos in agrum figuli, sicut con-
10 καὶ ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ κεραμέως, καθὰ συν-

* autem

stituit mihi Dominus. At Iesus *stetit ante præ-
11 έταξέ μοι κύριος. ὁ δὲ Ἰησοῦς ἔστη ἔμπροσθεν τοῦ ἡγε-
sidem: & interrogauit eum præses, dicens: Tu es rex
μόνος, καὶ ἐπηρώτησεν αὐτὸν ὁ ἡγεμὼν, λέγων, σὺ εἶ ὁ βασιλεὺς
Iudæorum? At Iesus dixit illi: Tu dicis.
τῶν Ἰουδαίων; ὁ δὲ Ἰησοῦς ἔφη αὐτῷ, σὺ λέγεις.

*cùm accusaretur

Et *in accusari ipsum à principibus Sacerdotum &
12 καὶ ἐν τῷ κατηγορεῖσθαι αὐτὸν ὑπὸ τῶν ἀρχιερέων καὶ τῶν
senioribus, nihil respondit. Tunc dicit illi
13 πρεσβυτέρων, οὐδὲν ἀπεκρίνατο. τότε λέγει αὐτῷ

‖ aduersum te dicunt testimonia
℘ miraretur præses

Pilatus: Non audis quanta ‖te contra testantur?
ὁ Πιλάτος, οὐκ ἀκούεις πόσα σου καταμαρτυροῦσι;
Et non respondit ei ad vllum verbum, ita vt ℘mira-
14 καὶ οὐκ ἀπεκρίθη αὐτῷ πρὸς οὐδὲ ἓν ῥῆμα, ὥστε θαυμά-
ri præsidem vehementer.
ζειν τὸν ἡγεμόνα λίαν.

* populo dimittere vnum

Per autẽ diẽ solennem consueuerat præses *absoluere vnum vinctum
15 κατὰ δὲ ἑορτὴν εἰώθει ὁ ἡγεμὼν ἀπολύειν ἕνα δέσμιον τῷ
turbæ, quem voluissent. Habebant autẽ tunc vinctum insignem,
16 ὄχλῳ, ὃν ἤθελον. εἶχον δὲ τότε δέσμιον ἐπίσημον,

* qui dicebatur Barabbas.
Congregatis
‖ dimittam

*dictum Barabbam. Coactis ergo illis, dixit
17 λεγόμενον Βαραββᾶν. συνηγμένων οὖν αὐτῶν, εἶπεν
illis Pilatus: Quem vultis ‖absoluam vobis? Barabbam,
αὐτοῖς ὁ Πιλάτος, τίνα θέλετε ἀπολύσω ὑμῖν; Βαραββᾶν,

℘ qui dicitur Christus?

an Iesum ℘dictum Christum?
ἢ Ἰησοῦν τὸν λεγόμενον Χριστόν;
Sciebat enim quòd per inuidiam tradidissent eum.
18 ᾔδει γὰρ ὅτι διὰ φθόνον παρέδωκαν αὐτόν.

*pro

Sedente autem illo *super tribunali, misit ad
19 καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ βήματος, ἀπέστειλε πρὸς
eum vxor eius, dicens: Nihil tibi & iusto illi:
αὐτὸν ἡ γυνὴ αὐτοῦ, λέγουσα, μηδέν σοι καὶ τῷ δικαίῳ ἐκείνῳ·

*visum

multa enim passa sum hodie per*somniũ propter eum.
πολλὰ γὰρ ἔπαθον σήμερον κατ᾽ ὄναρ δι᾽ αὐτόν.

‖ autem
℘ populis.
πείθω
*verò

At principes ‖Sacerdotũ & seniores persuaserunt ℘turbis,
20 οἱ δὲ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι † ἔπεισαν τοὺς ὄχλους,
vt peterent Barabbam, *Iesum perderent.
ἵνα αἰτήσωνται τὸν Βαραββᾶν, τὸν δὲ Ἰησοῦν ἀπολέσωσιν.

*dimitti
‖ At illi

Respondens autem præses, ait illis: Quem vultis de
ἀποκριθεὶς δὲ ὁ ἡγεμὼν, εἶπεν αὐτοῖς, τίνα θέλετε ἀπὸ τῶν
21 duobus*absoluam vobis? ‖Illi verò dixerunt: Barabbam.
δύο ἀπολύσω ὑμῖν; οἱ δὲ εἶπον, Βαραββᾶν.

℘ de Iesu, quid dicitur Christus?

Dicit ergo illis Pilatus: Quid igitur faciam ℘Iesum di-
λέγει οὖν αὐτοῖς ὁ Πιλάτος, τί οὖν ποιήσω Ἰησοῦν τὸν λε-
22 ctum Christum? Dicunt ei omnes: Crucifigatur.
γόμενον Χριστόν; λέγουσιν αὐτῷ πάντες, σταυρωθήτω.

* Ait illis præses
*At illi magis

*At præses ait: Quid enim mali fecit? *Illi autem abundè
23 ὁ δὲ ἡγεμὼν ἔφη, τί γὰρ κακὸν ἐποίησεν; οἱ δὲ περισσῶς
clamabant, dicentes: Crucifigatur.
ἔκραζον, λέγοντες, σταυρωθήτω.

‖ accepta aqua,
℘ populo,

Videns autem Pilatus quia nihil proficeret, sed magis tumul-
24 ἰδὼν δὲ ὁ Πιλάτος ὅτι οὐδὲν ὠφελεῖ, ἀλλὰ μᾶλλον θόρυ-
tus fieret, ‖sumens aquam lauit manus coram
βος γίνεται, λαβὼν ὕδωρ ἀπενίψατο τὰς χεῖρας ἀπέναντι τοῦ
℘turba, dicens: Innocens sum à sanguine iusti huius:
ὄχλου λέγων, ἀθῷός εἰμι ἀπὸ τοῦ αἵματος τοῦ δικαίου τούτου·
vos videritis. Et respondens vniuersus populus, dixit: San-
25 ὑμεῖς ὄψεσθε. καὶ ἀποκριθεὶς πᾶς ὁ λαὸς, εἶπε, τὸ αἷ-

*filios

guis eius super nos, & super *natos nostros.
μα αὐτοῦ ἐφ᾽ ἡμᾶς, καὶ ἐπὶ τὰ τέκνα ἡμῶν.

*dimisit
‖ Iesum autem flagellatum
℘ eis

Tunc *absoluit illis Barabbam: ‖At Iesum fla-
26 τότε ἀπέλυσεν αὐτοῖς τὸν Βαραββᾶν, τὸν δὲ Ἰησοῦν φρα-
gellans, tradidit ℘ vt crucifigeretur. Tunc milites
27 γελλώσας, παρέδωκεν ἵνα σταυρωθῇ. τότε οἱ στρατιῶται

* suscipientes
* congregauerunt

præsidis *assumentes Iesum in prætorium, *co-
τοῦ ἡγεμόνος παραλαβόντες τὸν Ἰησοῦν εἰς τὸ πραιτώριον, συν-
egerunt ad eum vniuersam cohortem. Et exuentes eum,
28 ήγαγον ἐπ᾽ αὐτὸν ὅλην τὴν σπεῖραν. καὶ ἐκδύσαντες αὐτὸν,
circundederunt ei chlamydem coccineam: Et plectentes co-
29 περιέθηκαν αὐτῷ χλαμύδα κοκκίνην· καὶ πλέξαντες στέ-
ronam de spinis, imposuerunt super caput eius, & arundi-
φανον ἐξ ἀκανθῶν, ἐπέθηκαν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ κάλα-

‖ flexo
℘ Aue

nem in dextera eius: & genu ‖flectentes ante eum,
μον ἐπὶ τὴν δεξιὰν αὐτοῦ· καὶ γονυπετήσαντες ἔμπροσθεν αὐτοῦ,
illudebant ei, dicentes: ℘Gaude rex Iudæorum.
ἐνέπαιζον αὐτῷ, λέγοντες, χαῖρε ὁ βασιλεὺς τῶν Ἰουδαίων.

*expuentes

Et *inspuentes in eum, acceperunt arundinem, & percu-
καὶ ἐμπτύσαντες εἰς αὐτὸν, ἔλαβον τὸν κάλαμον, καὶ ἔτυ-
30 tiebant in caput eius.
πτον εἰς τὴν κεφαλὴν αὐτοῦ.

καὶ ὅτε

Et postquam illuserunt ei, exuerunt eum chlamydem:
καὶ ὅτε ἐνέπαιξαν αὐτῷ, ἐξέδυσαν αὐτὸν τὴν χλαμύδα, 31
& induerunt eum vestimentis eius: & abduxerunt eum *ad
καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια αὐτοῦ· καὶ ἀπήγαγον αὐτὸν εἰς
crucifigendum. Exeuntes autē, inuenerunt hominem Cy-
τὸ σταυρῶσαι. ἐξερχόμενοι δὲ εὗρον ἄνθρωπον κυ- 32
renæum, nomine Simonem: hunc angariauerunt, vt tolleret cru-
ρηναῖον, ὀνόματι σίμωνα· τοῦτον ἠγγάρευσαν, ἵνα ἄρῃ τὸν σταυ-
cem eius. Et ‖venientes in locum ℘dictum Gol-
ρὸν αὐτοῦ. καὶ ἐλθόντες εἰς τόπον λεγόμενον γολ- 33
gotha, *qui est dictus Caluariæ locus: *Dederunt ei
γοθᾶ, ὅς ἐστι λεγόμενος κρανίου τόπος· ἔδωκαν αὐτῷ 34
bibere‖acetum cum felle mixtum. Et ℘gustans no-
πιεῖν *ὄξος μετὰ χολῆς † μεμιγμένον. καὶ γευσάμενος οὐκ
luit bibere. *Crucifigentes verò eum, diuiserunt
ἤθελε πιεῖν. σταυρώσαντες δὲ αὐτόν, διεμερίσαντο τὰ 35
vestimenta eius, *iacientes sortem: vt impleretur ‖effatum à
ἱμάτια αὐτοῦ, βάλλοντες κλῆρον· ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ
Propheta: Dispertiti sunt vestimenta mea sibiipsis, & super
τοῦ προφήτου, διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ
vestem meam ℘iecerunt sortem.
τὸν ἱματισμόν μου ἔβαλον κλῆρον.
Et sedentes seruabant eum illic.
καὶ καθήμενοι ἐτήρουν αὐτὸν ἐκεῖ. 36
Et imposuerunt super caput eius causam ipsius
καὶ ἐπέθηκαν ἐπάνω τῆς κεφαλῆς αὐτοῦ τὴν αἰτίαν αὐτοῦ 37
scriptam: HIC EST IESVS
γεγραμμένην, ΟΥΤΟΣ ΕΣΤΙΝ ΙΗΣΟΥΣ
REX IVDÆORVM.
Ο ΒΑΣΙΛΕΥΣ ΤΩΝ ΙΟΥΔΑΙΩΝ.
Tunc crucifixi sunt cum eo duo latrones, vnus à dextris, &
τότε σταυροῦνται σὺν αὐτῷ δύο λῃσταί, εἷς ἐκ δεξιῶν, καὶ 38
vnus à sinistris. At prætereunte ℘ blasphe-
εἷς ἐξ εὐωνύμων. οἱ δὲ παραπορευόμενοι ἐβλασφή- 39
mabant eum, mouentes capita sua: Et dicentes:
μουν αὐτόν, κινοῦντες τὰς κεφαλὰς αὐτῶν, καὶ λέγοντες, 40
Dissoluens templum, & in tribus diebus ædificans, serua
ὁ καταλύων τὸν ναόν, καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν, σῶσον
teipsum. Si filius es Dei, descende de cruce.
σεαυτόν. εἰ υἱὸς εἶ τοῦ θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ.
Similiter verò & principes Sacerdotum illudentes cum Scri-
ὁμοίως δὲ καὶ οἱ ἀρχιερεῖς ἐμπαίζοντες μετὰ τῶν γραμμα- 41
bis, & senioribus, & Pharisæis, dicebant: Alios
τέων, καὶ πρεσβυτέρων, καὶ φαρισαίων, ἔλεγον, ἄλλους 42
℘seruauit, seipsum non potest *seruare. Si rex Israel est, de-
ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι. εἰ βασιλεὺς ἰσραήλ ἐστι, κα-
scendat nunc de cruce, & *credemus in eo.
ταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ, καὶ πιστεύσομεν ἐπ' αὐτῷ.
Confidit in Deo: liberet nunc eum, si vult eum.
πέποιθεν ἐπὶ τὸν θεόν, ῥυσάσθω νῦν αὐτόν, εἰ θέλει αὐτόν. 43
dixit enim, Quia Dei sum filius. ‖Id verò ipsum & latrones
εἶπε γάρ, ὅτι θεοῦ εἰμι υἱός. τὸ δ' αὐτὸ καὶ οἱ λῃσταὶ 44
℘concrucifixi ipsi exprobrabant ei.
συσταυρωθέντες αὐτῷ, ὠνείδιζον αὐτῷ.
A autem sexta hora tenebræ factæ sunt super vniuersam terram,
ἀπὸ δὲ ἕκτης ὥρας σκότος ἐγένετο ἐπὶ πᾶσαν τὴν γῆν, 45
vsque *horam nonam. *Circa vero nonam horam clamauit
ἕως ὥρας ἐννάτης. περὶ δὲ τὴν ἐννάτην ὥραν ἀνεβόησεν 46
Iesus voce magna, dicens: Eli, Eli, lama sabachthani?
ὁ ἰησοῦς φωνῇ μεγάλῃ, λέγων, ἠλί, ἠλί, λαμὰ σαβαχθανί;
hoc est: Deus meus, Deus meus, vt quid me dereliquisti?
τοῦτ' ἔστι, θεέ μου, θεέ μου, ἱνατί με ἐγκατέλιπες;
Quidā autē eorū illic ‖stantium audientes, dicebant: Quod Eliam
τινὲς δὲ τῶν ἐκεῖ ἑστώτων ἀκούσαντες, ἔλεγον, ὅτι ἠλίαν 47
vocat iste. Et continuò currens vnus ex eis, ℘& accipiens
φωνεῖ οὗτος. καὶ εὐθέως δραμὼν εἷς ἐξ αὐτῶν, καὶ λαβὼν 48
spongiam, *implensque aceti, & circumponens arundini, potabat eum.
σπόγγον, πλήσας τε ὄξους, καὶ περιθεὶς καλάμῳ, ἐπότιζεν αὐτόν.
Verùm cæteri ‖dicebant: Sine, videamus an veniat Elias ℘liberaturus
οἱ δὲ λοιποὶ ἔλεγον, ἄφες, ἴδωμεν εἰ ἔρχεται ἠλίας σώσων 49
eum. At Iesus* iterum clamans voce magna, emi-
αὐτόν. ὁ δὲ ἰησοῦς πάλιν κράξας φωνῇ μεγάλῃ, ἀφῆ- 50
sit spiritum. Et ecce *interexpansum templi
κε τὸ πνεῦμα. καὶ ἰδοὺ τὸ καταπέτασμα τοῦ ναοῦ 51
‖scissum est in duo, à sursum vsque deorsum: & terra mota est, &
*ἐσχίσθη εἰς δύο, ἀπὸ ἄνωθεν ἕως κάτω· καὶ ἡ γῆ † ἐσείσθη, καὶ
petræ ℘fissæ sunt: Et monumenta aperta sunt, &
αἱ πέτραι ἐσχίσθησαν· καὶ τὰ μνημεῖα *ἀνεῴχθησαν, καὶ 52
multa corpora dormientium sanctorum *excitata sunt.
πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθη.
Et exeuntes de monumentis post *excitationem eius, vene-
καὶ ἐξελθόντες ἐκ τῶν μνημείων μετὰ τὴν ἔγερσιν αὐτοῦ, εἰσῆλ- 53
runt in sanctam ciuitatem: & apparuerunt multis.
θον εἰς τὴν ἁγίαν πόλιν, καὶ ἐνεφανίσθησαν πολλοῖς.
At Centurio‖, & qui cum eo ℘seruantes Iesum,
ὁ δὲ ἑκατόνταρχος, καὶ οἱ μετ' αὐτοῦ, τηροῦντες τὸν ἰησοῦν, 54
videntes *terræmotum & facta, timuerunt valdè, di-
ἰδόντες τὸν σεισμόν, καὶ τὰ γενόμενα, ἐφοβήθησαν σφόδρα, λέ-
centes: Verè Dei filius erat iste. Erant autem ibi mulieres
γοντες, ἀληθῶς θεοῦ υἱὸς ἦν οὗτος. ἦσαν δὲ ἐκεῖ γυναῖκες 55
multæ à longè spectantes, quæ secutæ erant Iesum
πολλαὶ ἀπὸ μακρόθεν θεωροῦσαι, αἵτινες ἠκολούθησαν τῷ ἰησοῦ

à Galilæa, ministrantes ei: *In quibus erat Ma-
56 ἀπὸ τῆς γαλιλαίας, διακονοῦσαι αὐτῷ· ἐν αἷς ἦν μα-
ria Magdalene, & Maria Iacobi & ‖Ioses mater, &
ρία ἡ μαγδαληνή, καὶ μαρία ἡ τοῦ ἰακώβου καὶ ἰωσῆ μήτηρ, καὶ
mater filiorum Zebedæi. ℘Sero autem facto, venit
57 ἡ μήτηρ τῶν υἱῶν ζεβεδαίου. ὀψίας δὲ γενομένης, ἦλθεν
*homo diues ab Arimathæa, nomine Ioseph, qui &
ἄνθρωπος πλούσιος ἀπὸ ἀριμαθαίας, τοὔνομα ἰωσήφ, ὃς καὶ
ipse discipulus erat Iesu: Hic *accedens Pi-
58 αὐτὸς ἐμαθήτευσε τῷ ἰησοῦ. οὗτος προσελθὼν τῷ πι-
lato, petiit corpus Iesu. Tunc Pilatus iussit
λάτῳ, ᾐτήσατο τὸ σῶμα τοῦ ἰησοῦ. τότε ὁ πιλάτος ἐκέλευσεν
reddi corpus. Et ‖accipiens corpus Ioseph
59 ἀποδοθῆναι τὸ σῶμα. καὶ λαβὼν τὸ σῶμα ὁ ἰωσὴφ
inuoluit illud ℘sindone munda: Et posuit illud in
60 † ἐνετύλιξεν αὐτὸ σινδόνι καθαρᾷ· καὶ ἔθηκεν αὐτὸ ἐν
nouo suo monumento, quod exciderat in petra: & *ad-
τῷ καινῷ αὐτοῦ μνημείῳ, ὃ ἐλατόμησεν ἐν τῇ πέτρᾳ· καὶ προσ-
uoluens lapidem magnum *ostio monumenti, ‖abiit:
κυλίσας λίθον μέγαν τῇ θύρᾳ τοῦ μνημείου, ἀπῆλθεν.
Erat autem ibi Maria Magdalene, & altera Maria, seden-
61 ἦν δὲ ἐκεῖ μαρία ἡ μαγδαληνὴ καὶ ἡ ἄλλη μαρία, καθή-
tes contra sepulchrum. ℘Verùm postera die, quæ est
62 μεναι ἀπέναντι τοῦ τάφου. τῇ δὲ ἐπαύριον, ἥτις ἐστὶ
post Parasceuen, *coacti sunt principes Sacerdotū & Phari-
μετὰ τὴν παρασκευήν, συνήχθησαν οἱ ἀρχιερεῖς καὶ οἱ φαρι-
sæi ad Pilatum, Dicentes, Domine, *meminimus quià
63 σαῖοι πρὸς πιλάτον, λέγοντες, κύριε, ἐμνήσθημεν ὅτι
ille seductor dixit adhuc viuens: Post tres dies ‖excitor.
ἐκεῖνος ὁ πλάνος εἶπεν ἔτι ζῶν, μετὰ τρεῖς ἡμέρας ἐγείρομαι·
Iube ergo ℘muniri sepulchrum vsque in tertium diem,
64 κέλευσον οὖν ἀσφαλισθῆναι τὸν τάφον ἕως τῆς τρίτης ἡμέρας,
ne *quando venientes discipuli eius nocte, *furentur eum,
μήποτε ἐλθόντες οἱ μαθηταὶ αὐτοῦ νυκτὸς, κλέψωσιν αὐτόν,
& dicant plebi: ‖Excitatus est à mortuis: & erit nouissimus
καὶ εἴπωσι τῷ λαῷ, ἠγέρθη ἀπὸ τῶν νεκρῶν· καὶ ἔσται ἡ ἐσχάτη
error peior priore. Ait vero illis Pilatus:
65 πλάνη χείρων τῆς πρώτης. ἔφη δὲ αὐτοῖς ὁ πιλάτος,
Habetis custodiam: ℘abite, munite sicut scitis.
ἔχετε κουστωδίαν, ὑπάγετε, ἀσφαλίσασθε ὡς οἴδατε.
Illi autem abeuntes munierunt sepulchrum, signantes
66 οἱ δὲ πορευθέντες ἠσφαλίσαντο τὸν τάφον, σφραγίσαντες
lapidem cum *custodia.
τὸν λίθον μετὰ τῆς κουστωδίας.

CAP. XXVIII. κη.

Vespere autem *Sabbatorum lucescenti in vnam Sabbatorum,
1 Ὀψὲ δὲ σαββάτων τῇ ἐπιφωσκούσῃ εἰς μίαν σαββάτων,
venit Maria Magdalene, & altera Maria ‖spectatum
ἦλθε μαρία ἡ μαγδαληνή, καὶ ἡ ἄλλη μαρία, θεωρῆσαι τὸν
sepulchrum. Et ecce terræmotus factus est magnus. Angelus enim
2 τάφον. καὶ ἰδοὺ σεισμὸς ἐγένετο μέγας. ἄγγελος γὰρ
Domini ℘descendens de cælo,* accedens reuoluit
κυρίου καταβὰς ἐξ οὐρανοῦ, προσελθὼν † ἀπεκύλισε τὸν
lapidem ab ostio, & sedebat super eum.
λίθον ἀπὸ τῆς θύρας, καὶ ἐκάθητο ἐπάνω αὐτοῦ.
Erat autē aspectus eius sicut fulgur, & vestimentum eius candidum
3 ἦν δὲ ἡ ἰδέα αὐτοῦ ὡς ἀστραπή, καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν
sicut nix. Præ autem timore eius *concussi sunt seruantes,
4 ὡσεὶ χιών. ἀπὸ δὲ τοῦ φόβου αὐτοῦ ἐσείσθησαν οἱ τηροῦντες,
& facti sunt velut mortui. Respondens autem angelus, dixit
5 καὶ ἐγένοντο ὡσεὶ νεκροί. ἀποκριθεὶς δὲ ὁ ἄγγελος εἶπε
mulieribus: ‖Ne metuite vos: scio enim quòd Iesum ℘cruci-
ταῖς γυναιξί, μὴ φοβεῖσθε ὑμεῖς· οἶδα γὰρ ὅτι ἰησοῦν τὸν ἐσταυ-
fixum quæritis: Non est hic. *Excitatus est enim, sicut
6 ρωμένον ζητεῖτε. οὐκ ἔστιν ὧδε· ἠγέρθη γάρ, καθὼς
dixit. venite, *videte locum* vbi ‖iacebat Dominus.
εἶπε. δεῦτε, ἴδετε τὸν τόπον ὅπου ἔκειτο ὁ κύριος.
Et citò euntes dicite discipulis eius, quià surre-
7 καὶ ταχὺ πορευθεῖσαι εἴπατε τοῖς μαθηταῖς αὐτοῦ, ὅτι ἠγέρ-
xit à mortuis: & ecce ℘præit vos in Galilæam:
θη ἀπὸ τῶν νεκρῶν, καὶ ἰδοὺ προάγει ὑμᾶς εἰς τὴν γαλιλαίαν·
ibi eum videbitis. ecce *dixi vobis. Et *exeuntes
8 ἐκεῖ αὐτὸν ὄψεσθε. ἰδοὺ εἶπον ὑμῖν. καὶ ἐξελθοῦσαι
citò de monumento cum timore & gaudio magno ‖encurre-
ταχὺ ἀπὸ τοῦ μνημείου μετὰ φόβου καὶ χαρᾶς μεγάλης, ἔδρα-
runt nunciare discipulis eius. Cum autem irent renun-
μον ἀπαγγεῖλαι τοῖς μαθηταῖς αὐτοῦ. ὡς δὲ ἐπορεύοντο ἀπαγ-
tiare discipulis eius, Et ecce Iesus occur-
9 γεῖλαι τοῖς μαθηταῖς αὐτοῦ, καὶ ἰδοὺ ὁ ἰησοῦς † ἀπήν-
rit illis, dicens, ℘Gaudete. Illæ autem *accedentes, prehen-
τησεν αὐταῖς, λέγων, χαίρετε. αἱ δὲ προσελθοῦσαι, ἐκρά-
derunt eius pedes, & adorauerunt eum.
τησαν αὐτοῦ τοὺς πόδας, καὶ προσεκύνησαν αὐτῷ.
Tunc ait illis Iesus: *Ne timete: Ite, nun-
10 τότε λέγει αὐταῖς ὁ ἰησοῦς, μὴ φοβεῖσθε· ὑπάγετε, ἀπαγ-
tiate fratribus meis, vt abeant in Galilæam,
γείλατε τοῖς ἀδελφοῖς μου, ἵνα ἀπέλθωσιν εἰς τὴν γαλιλαίαν,
& ibi me videbunt. ‖Euntibus autem illis, ecce quidam
11 κἀκεῖ με ὄψονται. πορευομένων δὲ αὐτῶν, ἰδού τινες
℘custodiæ venientes in vrbem, nuntiauerunt principibus Sa-
τῆς κουστωδίας ἐλθόντες εἰς τὴν πόλιν, ἀπήγγειλαν τοῖς ἀρχιε-
ρεῦσιν

Marginal notes (left): * vt crucifigerent; ‖venerunt ℘ qui dicitur; *quod est *Et ‖vinum ℘ cùm gustasset * οἶνον † μίγνυμι; *Postquam autem crucifixerunt * mittentes ‖quod dictum est per Prophetam, dicentem: Diuiserunt sibi ℘ miserunt; ℘autem; *Vah qui destruis * Dei, ‖triduo illud reædificas: salua temetipsum.; ℘ saluos fecit, *saluum facere.; * credimus ei.; ‖ Idipsum autem; ℘ qui crucifixi erant cum eo, improperabant; * ad * Et; ‖ stantes, &; ℘acceptam; *impleuit aceto: & imposuit *& dabat ei bibere. ‖verò ℘ liberans *autem; * velum ‖ scissum est in duas partes, à summo * σχίζω † σείομαι ℘ scissæ * ἀνοίγω *qui dormierant, surrexerunt. * resurrectionem; ‖ autem ℘erant custodientes *viso terræmotu, & his quæ fiebāt,

Marginal notes (right): * Inter quas ‖ Ioseph; ℘ Cùm autem sero factum esset, *quidam; *accessit ad Pilatum,&; ‖ accepto corpore; ℘in ἐντυλίσσω; *aduoluit saxum; * ad ostium ‖&; ℘ Altera autem; *conuenerunt; * recordati sumus; ‖resurgam.; ℘custodiri; *fortè veniant, *&; ‖ Surrexit; ℘ ite, custodite; *custodibus; *Sabbati quæ lucescit in prima Sabbati ‖ videre; ℘ descendit, *&; ἀποκυλίζω; * exterriti sunt custodes,; ‖ Nolite timere ℘qui crucifixus est, * Surrexit; * & ‖ positus erat; ℘ præcedet; *prædixi *exierunt; ‖ currentes; ἀπαντάω ℘ Auete *accesserunt, & tenuerunt; *Nolite timere; ‖ Quæ cùm abiissent, ℘ de custodibus venerunt in ciuitatem, &

cerdotum omnia *facta. Et congregati cum
ρεδσιν ἅπαντα τὰ γενόμενα. καὶ συναχθέντες μετὰ 12
seniorib, ‖ consiliumque accipientes, argenteos sufficientes
τῶν πρεσβυτέρων, συμβούλιόν τε λαβόντες, ἀργύρια ἱκανὰ
dederunt militibus, Dicentes: Dicite quia discipuli
ἔδωκαν τοῖς στρατιώταις, λέγοντες, εἰπατε ὅτι οἱ μαθηταὶ 13
eius nocte ♀ venientes, furati sunt eum nobis dormientibus.
αὐτοῦ νυκτὸς ἐλθόντες, ἔκλεψαν αὐτὸν ἡμῶν κοιμωμένων.
Et si auditum fuerit hoc à præside, nos suadebimus ei,
καὶ ἐὰν ἀκουσθῇ τοῦτο ἐπὶ τοῦ ἡγεμόνος, ἡμεῖς πείσομεν αὐτῷ, 14
& vos securos faciemus. * Illi autem accipientes ar-
καὶ ὑμᾶς ἀμεριμνοὺς ποιήσομεν. οἱ δὲ λαβόντες τὰ ἀρ- 15
gentos, fecerunt sicut erant edocti. Et diuulgatum est verbum
γύρια, ἐποίησαν ὡς ἐδιδάχθησαν. καὶ διεφημίσθη ὁ λόγος
istud apud Iudæos, vsque *hodie.
οὗτος παρὰ ἰουδαίοις, μέχρι τῆς σήμερον.
At vndecim ‖ discipuli ♀ profecti sunt in Galilæam,
οἱ δὲ ἕνδεκα μαθηταὶ ἐπορεύθησαν εἰς τὴν γαλιλαίαν, 16
in montem vbi constituerat illis Iesus.
εἰς τὸ ὄρος οὗ ἐτάξατο αὐτοῖς ὁ ἰησοῦς.
Et videntes eum, adorauerunt *eum*: quidã autem dubitauerunt.
καὶ ἰδόντες αὐτὸν, προσεκύνησαν αὐτῷ· οἱ δὲ ἐδίσταση. 17
Et accedens Iesus, locutus est eis, dicens: Data est
καὶ προσελθὼν ὁ ἰησοῦς ἐλάλησεν αὐτοῖς, λέγων, ἐδόθη 18
mihi omnis * auctoritas in cælo, & in terra.
μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ, καὶ ἐπὶ γῆς.
Euntes ergo docete omnes gentes: bapti-
πορευθέντες οὖν μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτί- 19
zantes eos in * nomen Patris, & Filij, & sancti
ζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου
Spiritus: Docentes eos seruare omnia quæcũq;
πνεύματος, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα 20
mandaui vobis. Et ecce ego * cum vobis sum omnes
ἐνετειλάμην ὑμῖν. καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς
dies, vsque ad consummationem seculi. Amen.
ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος. ἀμήν.

Sancti Euangelij secundum Matthæum,

FINIS.

SECVNDVM MARCVM

ΤΟ ΚΑΤΑ ΜΑΡΚΟΝ

SANCTVM EVANGELIVM.

ΑΓΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ.

CAPVT PRIMVM. α.

INITIVM Euangelij Iesu Christi
ΑΡΧΗ τοῦ εὐαγγελίου ἰησοῦ χριστοῦ 1
filij Dei: Sicut scriptum est in
υἱοῦ τοῦ θεοῦ· ὡς γέγραπται ἐν τοῖς 2
* Esaia propheta: * Prophetis: Ecce ego mitto an-
προφήταις, ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγ-
gelum meum ante faciem tuam, qui præparabit viam tuam
γελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου
ante te. Vox clamantis in deserto: Parate
ἔμπροσθέν σου. φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, ἑτοιμάσατε 3
viam Domini, rectas facite semitas eius.
τὴν ὁδὸν κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ.
Fuit Ioannes baptizans in deserto, & prædicans ba-
ἐγένετο ἰωάννης βαπτίζων ἐν τῇ ἐρήμῳ, καὶ κηρύσσων βά- 4
ptismum pœnitentiæ in remissionem peccatorum.
πτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν.
Et egrediebatur ad eum omnis Iudæa regio, &
καὶ ἐξεπορεύετο πρὸς αὐτὸν πᾶσα ἡ ἰουδαία χώρα, καὶ οἱ 5
‖ vniuersi: Hierosolymitæ ‖: & baptizabantur *omnes* in Iordane flumine
ἱεροσολυμῖται, καὶ ἐβαπτίζοντο πάντες ἐν τῷ ἰορδάνῃ ποταμῷ
ab illo, confitentes peccata sua.
ὑπ' αὐτοῦ, ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν.
♀ Et * zona pellicea ♀ Erat *autem* Ioannes vestitus pilis cameli, & * *zonam*
Καὶ αὐτὸς ὁ ἰωάννης ἐνεδεδυμένος τρίχας καμήλου, καὶ ζώνην 6
coriaceam circa lumbos eius: & *edens* locustas &
δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ· καὶ ἐσθίων ἀκρίδας καὶ
mel siluestre *. Et prædicabat, dicens: Venit fortior me
μέλι ἄγριον. καὶ ἐκήρυσσε λέγων, ἔρχεται ὁ ἰσχυρότερός μου 7
* edebat. post me, cuius non sum dignus ‖ *curuatus* soluere corrigiam
ὀπίσω μου, οὗ οὐκ εἰμὶ ἱκανὸς κύψας λῦσαι τὸν ἱμάντα τῶν
‖ procumbens calceamentorum eius. Ego *quidem* baptizaui vos *in* aqua:
ὑποδημάτων αὐτοῦ. ἐγὼ μὲν ἐβάπτισα ὑμᾶς ἐν ὕδατι· 8
ille verò baptizabit vos *in* Spiritu sancto.
αὐτὸς δὲ βαπτίσει ὑμᾶς ἐν πνεύματι ἁγίῳ.

Et factum est in illis diebus, venit Iesus à Na-
καὶ ἐγένετο ἐν ἐκείναις ταῖς ἡμέραις, ἦλθεν ἰησοῦς ἀπὸ να- 9
zareth Galilææ: & baptizatus est à Ioanne in Iordanem.
ζαρὲτ τῆς γαλιλαίας, καὶ ἐβαπτίσθη ὑπὸ ἰωάννου εἰς τὸν ἰορδάνην.
Et statim ascendens de aqua, vidit *scissos*
Καὶ εὐθὺς ἀναβαίνων ἀπὸ τοῦ ὕδατος, εἶδε † σχιζομένους τοὺς σχίζομαι
cælos *, & Spiritum tanquam columbam descendentem ‖ *super eum.* * apertos,
οὐρανοὺς, καὶ τὸ πνεῦμα ὡσεὶ περιστερὰν καταβαῖνον ἐπ' αὐτόν. ‖ & manentem in
Et vox facta est de cælis: Tu es filius meus dilectus, ipso.
καὶ φωνὴ ἐγένετο ἐκ τοῦ οὐρανοῦ, σὺ εἶ ὁ υἱός μου ὁ ἀγαπητός,
in ♀ quo complacui. Et statim spiritus eum * eiicit in ♀ te
ἐν ᾧ εὐδόκησα. καὶ εὐθὺς τὸ πνεῦμα αὐτὸν ἐκβάλλει εἰς 12 * expulit
desertum. Et erat *illic* in deserto *dies* quadra-
τὴν ἔρημον. καὶ ἦν ἐκεῖ ἐν τῇ ἐρήμῳ ἡμέρας τεσσαρά- 13
ginta *, *tentatus* à satana. ‖ *Et erat* cum ♀ fe- * diebus, & quadraginta noctibus: & tentabatur
κοντα, πειραζόμενος ὑπὸ τοῦ σατανᾶ· καὶ ἦν μετὰ τῶν θη- ‖ eratque
ris: & angeli ministrabant illi. ♀ bestiis:
ρίων· καὶ οἱ ἄγγελοι διηκόνουν αὐτῷ. * Postquam autẽ
* Post autem *traditum esse* Ioannem, venit Iesus traditus est Ioannes,
μετὰ δὲ τὸ * παραδοθῆναι τὸν ἰωάννην, ἦλθεν ὁ ἰησοῦς παραδίδωμι
in Galilæam, prædicans Euangelium regni Dei:
εἰς τὴν γαλιλαίαν, κηρύσσων τὸ εὐαγγέλιον τῆς βασιλείας τοῦ θεοῦ.
Et dicens: Quoniã impletum est tempus, & appropinquauit regnum
καὶ λέγων, ὅτι πεπλήρωται ὁ καιρὸς, καὶ ἤγγικεν ἡ βασιλεία 15
Dei: pœnitemini, & credite in Euangelio.
τοῦ θεοῦ· μετανοεῖτε, καὶ πιστεύετε ἐν τῷ εὐαγγελίῳ.
* *Deambulans autem iuxta* mare Galilææ, vidit * Et præteriens
Περιπατῶν δὲ παρὰ τὴν θάλασσαν τῆς γαλιλαίας, εἶδε secus
Simonem & Andream fratrem eius *Simonis*, mittentes
σίμωνα καὶ ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ τοῦ σίμωνος, βάλλοντας
‖ *verriculum in mari:* (erant enim piscatores.) ‖ retia in mare,
ἀμφίβληστρον ἐν τῇ θαλάσσῃ· ἦσαν γὰρ ἁλιεῖς.
Et dixit eis Iesus: Venite post me, & faciam
καὶ εἶπεν αὐτοῖς ὁ ἰησοῦς, δεῦτε ὀπίσω μου, καὶ ποιήσω 17
vos fieri piscatores hominum. Et protinus ♀ *relinquentes* ♀ relictis retibus
ὑμᾶς γενέσθαι ἁλιεῖς ἀνθρώπων. καὶ εὐθὺς ἀφέντες τὰ
retia sua, secuti sunt eum. Et progressus indè
δίκτυα αὐτῶν, ἠκολούθησαν αὐτῷ. καὶ † προβὰς ἐκεῖθεν προβαίνω
pusillum, vidit Iacobum Zebedæi, & Ioannem fratrem
ὀλίγον, εἶδεν ἰάκωβον τοῦ ζεβεδαίου, καὶ ἰωάννην τὸν ἀδελφὸν
eius, & ipsos *in nauigio* componentes retia ‖. ‖ in nauigio
αὐτοῦ, καὶ αὐτοὺς ἐν τῷ πλοίῳ καταρτίζοντας τὰ δίκτυα.
Et statim vocauit illos: Et * *relinquentes patrem suum* * relicto patre suo Zebedæo in nauigio
καὶ εὐθὺς ἐκάλεσεν αὐτούς· καὶ ἀφέντες τὸν πατέρα αὐτοῦ
Zebedæum in nauigio cum mercenariis, * *abierunt post* eum. * secuti sunt
ζεβεδαῖον ἐν τῷ πλοίῳ μετὰ τῶν μισθωτῶν, ἀπῆλθον ὀπίσω αὐτοῦ.
Et ingrediuntur in Capharnaum: & statim Sabbatis
καὶ εἰσπορευόμενοι εἰς καπερναούμ· καὶ εὐθὺς τοῖς σάββασιν
ingressus in synagogam, docebat ‖. ‖ eos.
εἰσελθὼν εἰς τὴν συναγωγὴν, ἐδίδασκε.
Et ♀ *percellebantur* super doctrina eius. Erat enim docens ♀ stupebant
καὶ ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ. ἦν γὰρ διδάσκων
eos quasi * *auctoritatem* habens, & non sicut Scribæ. * potestatem
αὐτοὺς ὡς ἐξουσίαν ἔχων, καὶ οὐχ ὡς οἱ γραμματεῖς·
Et erat in synagoga eorum homo in spiritu im-
καὶ ἦν ἐν τῇ συναγωγῇ αὐτῶν ἄνθρωπος ἐν πνεύματι ἀκα-
mundo: & exclamauit, Dicens: *Ah*, Quid nobis & tibi Iesu
θάρτῳ, καὶ ἀνέκραξε, λέγων, ἔα, τί ἡμῖν καὶ σοὶ ἰησοῦ 24
Nazarene? venisti perdere nos? * *noui te quis es,* sanctus * scio qui sis,
ναζαρηνέ; ἦλθες ἀπολέσαι ἡμᾶς; οἶδά σε τίς εἶ, ὁ ἅγιος
Dei. Et comminatus est ei Iesus, dicens: Obmu-
τοῦ θεοῦ. καὶ ἐπετίμησεν αὐτῷ ὁ ἰησοῦς, λέγων, φιμώ- 25
tesce: & exi ‖ *ex eo.* Et discerpens cum spiritus ‖ de homine.
θητι, καὶ ἔξελθε ἐξ αὐτοῦ. καὶ σπαράξαν αὐτὸν τὸ πνεῦμα 26
immundus, & exclamans voce magna, exiit ab eo.
τὸ ἀκάθαρτον καὶ κράξαν φωνῇ μεγάλῃ, ἐξῆλθεν ἐξ αὐτοῦ.
Et ♀ *expauerunt* omnes: ita vt * *conquirere ad ipsos*, dicen- ♀ mirati sunt * conquirerent inter se,
ἐθαμβήθησαν πάντες, ὥστε συζητεῖν πρὸς αὐτοὺς, λέγον- 27
tes: Quid * est hoc? quæ * doctrina noua hæc, quia ♀ *per auctoritatem* * nam ♀ in potestate etiã
τες, τί ἐστι τοῦτο; τίς ἡ διδαχὴ ἡ καινὴ αὕτη, ὅτι κατ' ἐξου-
ritatem & spiritibus ‖ immundis imperat, & obe-
σίαν καὶ τοῖς πνεύμασι τοῖς ἀκαθάρτοις ἐπιτάσσει, καὶ ὑπακο-
diunt ei? * *Exiit autem fama* eius statim in omnem * Et processit rumor
ὑοῦσιν αὐτῷ; ἐξῆλθε δὲ ἡ ἀκοὴ αὐτοῦ εὐθὺς εἰς ὅλην 28 * de
regionem Galilææ. Et protinus * *ex* syna-
τὴν περίχωρον τῆς γαλιλαίας. καὶ εὐθὺς ἐκ τῆς συνα- 29
goga egredientes, venerunt in domum Simonis & Andreæ,
γωγῆς ἐξελθόντες, ἦλθον εἰς τὴν οἰκίαν σίμωνος καὶ ἀνδρέου,
cum Iacobo & Ioanne. *At* socrus ‖ Simonis ‖ autem
μετὰ ἰακώβου καὶ ἰωάννου. ἡ δὲ πενθερὰ σίμωνος 30
decumbebat febricitans: & statim dicunt ei de illa.
κατέκειτο πυρέσσουσα. καὶ εὐθὺς λέγουσιν αὐτῷ περὶ αὐτῆς.
Et accedens ♀ *excitauit* eam, * *apprehendens manum* eius: ♀ eleuauit * apprehensa manu
καὶ προσελθὼν ἤγειρεν αὐτὴν, κρατήσας τῆς χειρὸς αὐτῆς·
31 & dimisit eam febris continuò, & ministrabat eis.
καὶ ἀφῆκεν αὐτὴν ὁ πυρετὸς εὐθέως, καὶ διηκόνει αὐτοῖς.
Vespere autem facto, cùm occidisset Sol, afferebant ad eum
ὀψίας δὲ γενομένης, ὅτε † ἔδυ ὁ ἥλιος, ἔφερον πρὸς αὐτὸν δύω
omnes malè habentes, & * *dæmoniacos.* * dæmonia habentes.
πάντας τοὺς κακῶς ἔχοντας, καὶ τοὺς δαιμονιζομένους. ‖ omnis cõgregata
Et ciuitas ‖ *tota* *conclusa* erat ad ianuam. ὅλη συνάγομαι
καὶ ἦν πόλις ὅλη † ἐπισυνηγμένη πρὸς τὴν θύραν.

καὶ ἐθε-

Et curauit multos *malè habentes variis ‖morbis:
κὴ ἐθεράπευσε πολλοὺς κακῶς ἔχοντας ποικίλαις νόσοις· 34
& dæmonia multa eiiciebat: & non sinebat *loqui dæmo-
κὴ δαιμόνια πολλὰ ἐξέβαλε· καὶ οὐκ † ἤφιε λαλεῖν τὰ δαιμό-
nia, |quod nossent eum. Et ρmanè noctu valdè surgens
νια, ὅτι ἤδεισαν αὐτόν. κὴ πρωῒ ἔννυχον λίαν ἀναστὰς 35
egressus est, & abiit Iesus in desertum locum, ibique
ἐξῆλθε, καὶ ἀπῆλθεν ὁ ἰησοῦς εἰς ἔρημον τόπον, κἀκεῖ
orabat. Et *prosecuti sunt cum Simon & qui cum illo*.
προσηύχετο. Καὶ κατεδίωξαν αὐτὸν ὁ σίμων κὴ οἱ μετ' αὐτοῦ· 36
Et ‖inuenientes eum, ρ dicunt ei: Quia omnes quærunt te.
κὴ εὑρόντες αὐτὸν, λέγουσιν αὐτῷ, ὅτι πάντες ζητοῦσί σε. 37
Et ait illis: Eamus in *continua oppidula,
κὴ λέγει αὐτοῖς, ἄγωμεν εἰς τὰς ἐχομένας κωμοπόλεις, 38
vt & ibi prædicem: ad hoc enim *egressus sum. Et erat
ἵνα κἀκεῖ κηρύξω· εἰς τοῦτο γὰρ ἐξελήλυθα. καὶ ἦν 39
prædicans in synagogis eorum, ‖in omnem Galilæam,
κηρύσσων ἐν ταῖς συναγωγαῖς αὐτῶν, εἰς ὅλην τὴν γαλιλαίαν,
& dæmonia eiiciens. Et venit ad eum leprosus
κὴ τὰ δαιμόνια ἐκβάλλων. κὴ ἔρχεται πρὸς αὐτὸν λεπρὸς 40
deprecans eum, & ρgenupetens eum, & dicens ei: Quod si
παρακαλῶν αὐτὸν, κὴ γονυπετῶν αὐτὸν, κὴ λέγων αὐτῷ, ὅτι ἐὰν
velis, potes me mundare. *At Iesus visceribus commo-
θέλῃς δύνασαί με καθαρίσαι. ὁ δὲ ἰησοῦς σπλαγχνι- 41
tus, extendens manum*, tetigit eum: & ait illi: Volo:
σθεὶς, ἐκτείνας τὴν χεῖρα, ἥψατο αὐτοῦ, καὶ λέγει αὐτῷ, θέλω,
mundare. Et ‖dicente eo, statim discessit ab
καθαρίσθητι. καὶ εἰπόντος αὐτοῦ, εὐθέως ἀπῆλθεν ἀπ' 42
eo lepra, & mundatus est. Et comminatus ρ
αὐτοῦ ἡ λέπρα, κὴ ἐκαθαρίσθη. κὴ ἐμβριμησάμενος 43
ei, statim *eiecit illum: Et dicit ei: Vide nemini
αὐτῷ, εὐθέως ἐξέβαλεν αὐτόν· κὴ λέγει αὐτῷ, ὅρα μηδενὶ 44
dixeris: sed vade teipsum ostende *Sacerdoti, & offer
εἴπῃς· ἀλλ' ὕπαγε, σεαυτὸν δεῖξον τῷ ἱερεῖ, κὴ προσένεγκε
pro emundatione tua quæ præcepit Moyses, in testimonium
περὶ τοῦ καθαρισμοῦ σου ἃ προσέταξε μωσῆς, εἰς μαρτύριον
illis. ‖Ille verò egressus cœpit prædicare multa, & dif-
αὐτοῖς. ὁ δὲ ἐξελθὼν ἤρξατο κηρύσσειν πολλὰ, κὴ δια- 45
famare sermonem, ita vt ρ non amplius ipsum posse manifestè in
φημίζειν τὸν λόγον, ὥστε μηκέτι αὐτὸν δύνασθαι φανερῶς εἰς
ciuitatem introire, sed foris in desertis locis *erat: & con-
πόλιν εἰσελθεῖν· ἀλλ' ἔξωθεν ἐν ἐρήμοις τόποις ἦν, καὶ ἤρ-
ueniebant ad eum vndique.
χοντο πρὸς αὐτὸν πανταχόθεν.

*qui vexabantur ‖languoribus: *ea ἀφίημι ‖quoniam sciebant ρ diluculò ρ prosecutus est *erant. ‖cùm inuenissent ρ dixerunt ρ proximos vicos & ciuitates *vni. ‖& in omni Galilæa. ρ genuflexo, dicit ei: Si vis, *Iesus autem misertus eius, extendit *suam: & tangens ‖cùm dixisset ρ est *que *principi Sacerdotum, ‖At ρ iam non posset *esset:

CAP. II. β.

Et iterum intrauit in Caphernaum *per dies: & auditū est
Καὶ πάλιν εἰσῆλθεν εἰς καπερναοὺμ δι' ἡμερῶν· κὴ ἠκούσθη 1
quòd in ‖domum esset: Et confestim ρcoacti sunt multi,
ὅτι εἰς οἶκόν ἐστι· καὶ εὐθέως † συνήχθησαν πολλοὶ, 2
*vt non amplius capere neque quæ ad ianuam: & loquebatur
ὥστε μηκέτι χωρεῖν μηδὲ τὰ πρὸς τὴν θύραν· καὶ ἐλάλει
eis verbum. Et *veniunt ad eum paralyticum fe-
αὐτοῖς τὸν λόγον. καὶ ἔρχονται πρὸς αὐτὸν, παραλυτικὸν φέ- 3
rentes, |sublatum à quatuor. Et ρ non valentes
ροντες,* αἰρόμενον ὑπὸ τεσσάρων. κὴ μὴ δυνάμενοι 4
appropinquare ei propter turbam, detexerunt tectum
προσεγγίσαι αὐτῷ διὰ τὸν ὄχλον, ἀπεστέγασαν τὴν στέγην
vbi erat: & *perfodientes submiserunt grabatum in quo para-
ὅπου ἦν, κὴ ἐξορύξαντες χαλῶσι τὸν κράββατον, ἐφ' ᾧ ὁ παρα-
lyticus iacebat. *Videns autem Iesus fidem illorum,
λυτικὸς κατέκειτο. ἰδὼν δὲ ὁ ἰησοῦς τὴν πίστιν αὐτῶν, 5
ait paralytico: Fili, dimittuntur tibi peccata tua.
λέγει τῷ παραλυτικῷ, τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου.
Erant autem quidam |Scribarum illic sedentes, & ρra-
ἦσαν δέ τινες τῶν γραμματέων ἐκεῖ καθήμενοι, καὶ δια- 6
tiocinantes in cordibus suis: Quid hic sic loquitur?
λογιζόμενοι ἐν ταῖς καρδίαις αὐτῶν, τί οὗτος οὕτω λαλεῖ 7
*blasphemias? Quis potest dimittere peccata, *si non vnus Deus?
βλασφημίας; τίς δύναται ἀφιέναι ἁμαρτίας, εἰ μὴ εἷς ὁ θεός;
‖Et statim agnoscens Iesus spiritu suo, quia sic
κὴ εὐθέως ἐπιγνοὺς ὁ ἰησοῦς τῷ πνεύματι αὐτοῦ, ὅτι οὕτως 8
ρratiocinantur in seipsis, dixit illis: Quid ista *ratioci-
διαλογίζονται ἐν ἑαυτοῖς, εἶπεν αὐτοῖς, τί ταῦτα διαλογί-
namini in cordibus vestris? Quid est facilius,
ζεσθε ἐν ταῖς καρδίαις ὑμῶν; τί ἐστιν εὐκοπώτερον, 9
dicere paralytico: Dimittuntur tibi peccata: an dicere:
εἰπεῖν τῷ παραλυτικῷ, ἀφέωνταί σοι αἱ ἁμαρτίαι· ἢ εἰπεῖν,
Surge, & tolle tuum grabatum, & deambula?
ἔγειραι, καὶ ἆρόν σου τὸν κράββατον, καὶ περιπάτει.
Vt autem sciatis quia *auctoritatem habet filius hominis dimittendi
ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἀφιέναι 10
in terra peccata, ait paralytico: Tibi dico,
ἐπὶ τῆς γῆς ἁμαρτίας, λέγει τῷ παραλυτικῷ, σοὶ λέγω, 11
Surge, & tolle grabatum tuum, & vade in domum tuam.
ἔγειραι, κὴ ἆρον τὸν κράββατόν σου, κὴ ὕπαγε εἰς τὸν οἶκόν σου.
Et statim surrexit‖, & tollens grabatum, egressus est
καὶ εὐθέως ἠγέρθη, κὴ ἄρας τὸν κράββατον, ἐξῆλθεν 12
coram omnibus: ita vt ρobstupescere omnes, & *glorificare
ἐναντίον πάντων· ὥστε ἐξίστασθαι πάντας, καὶ δοξάζειν τὸν
Deum, dicentes: Quia nunquam sic vidimus.
θεὸν, λέγοντας, ὅτι οὐδέποτε οὕτως εἴδομεν.

*post ‖domo ρ conuenerunt συνάγω *ita vt non caperet neque *venerunt ‖qui portabatur ρcùm non possent offerre eum illi præ turba, nudauerunt * αἴρω *patefacientes, *Cùm autem vidisset ‖de Scribis ρ cogitantes *blasphemat *nisi solus ‖Quo statim cognito ρ cogitarent intra se, *cogitatis *potestatem ‖ille: & sublato grabato, abiit indè ρ mirarentur ρ honorificarent

Et egressus est rursus *secus mare: ‖& omnis turba ve-
13 κὴ ἐξῆλθε πάλιν παρὰ τὴν θάλασσαν· κὴ πᾶς ὁ ὄχλος ἤρ-
niebat ad eum, & docebat eos. Et ρpræteragrediens vidit
14 χετο πρὸς αὐτὸν, κὴ ἐδίδασκεν αὐτούς. κὴ παράγων εἶδε
Leui Alphæi sedentem ad telonium: & ait illi:
λευῒ τὸν τοῦ ἀλφαίου, καθήμενον ἐπὶ τὸ τελώνιον καὶ λέγει αὐτῷ,
Sequere me. Et surgens secutus est eum.
ἀκολούθει μοι· κὴ ἀναστὰς ἠκολούθησεν αὐτῷ.
Et factum est *in accumbere ipsum in domo illius, &
15 καὶ ἐγένετο ἐν τῷ κατακεῖσθαι αὐτὸν ἐν τῇ οἰκίᾳ αὐτοῦ, καὶ
multi publicani & peccatores simul discumbebant *Iesu, &
πολλοὶ τελῶναι καὶ ἁμαρτωλοὶ συνανέκειντο τῷ ἰησοῦ, καὶ
discipulis eius: erant enim multi, ‖& sequebantur eum.
τοῖς μαθηταῖς αὐτοῦ· ἦσαν γὰρ πολλοὶ, κὴ ἠκολούθησαν αὐτῷ.
Et Scribæ & Pharisæi videntes ρeum edentem
16 κὴ οἱ γραμματεῖς καὶ οἱ φαρισαῖοι ἰδόντες αὐτὸν ἐσθίοντα
cum publicanis & peccatoribus, dicebant discipulis eius:
μετὰ τῶν τελωνῶν κὴ ἁμαρτωλῶν, ἔλεγον τοῖς μαθηταῖς αὐτοῦ,
Quid quod cum publicanis & peccatoribus māducat & bibit?
τί ὅτι μετὰ τῶν τελωνῶν κὴ ἁμαρτωλῶν ἐσθίει κὴ πίνει;
Et audiens Iesus, ait illis: Non |vsum habent
17 καὶ ἀκούσας ὁ ἰησοῦς, λέγει αὐτοῖς, οὐ χρείαν ἔχουσιν οἱ
ρvalentes medico, sed *male habentes. non *veni vocare
ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες. οὐκ ἦλθον καλέσαι
iustos, sed peccatores ad pœnitentiam. Et erant
18 δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν. καὶ ἦσαν οἱ
discipuli Ioannis, & illi ‖Pharisæorum ieiunantes: & veniunt,
μαθηταὶ ἰωάννου, καὶ οἱ τῶν φαρισαίων νηστεύοντες· κὴ ἔρχονται,
& dicunt illi: Quare discipuli Ioannis, & illi Phari-
καὶ λέγουσιν αὐτῷ, διατί οἱ μαθηταὶ ἰωάννου, κὴ οἱ τῶν φαρι-
sæorum ieiunant: ρ at tibi discipuli non ieiunant?
σαίων νηστεύουσιν, οἱ δὲ σοὶ μαθηταὶ οὐ νηστεύουσι;
Et ait illis Iesus: *Num possunt filii *thalami,
19 καὶ εἶπεν αὐτοῖς ὁ ἰησοῦς, μὴ δύνανται οἱ υἱοὶ τοῦ νυμφῶνος,
in quo sponsus cum illis est, ieiunare? ‖Quantum tempus cum seipsis
ἐν ᾧ ὁ νυμφίος μετ' αὐτῶν ἐστι, νηστεύειν; ὅσον χρόνον μεθ' ἑαυτῶν
habent sponsum, non possunt ieiunare. Venient autem
20 ἔχουσι τὸν νυμφίον, οὐ δύνανται νηστεύειν. ἐλεύσονται δὲ
dies, cùm auferetur ab eis sponsus, & tunc ieiu-
ἡμέραι, ὅταν † ἀπαρθῇ ἀπ' αὐτῶν ὁ νυμφίος, κὴ τότε νηστεύ-
nabunt in illis diebus. Et nemo ρadditamentum
21 σουσιν ἐν ἐκείναις ταῖς ἡμέραις. καὶ οὐδεὶς ἐπίβλημα
panni *impoliti assuit in vestimento veteri: *si vero non,
ῥάκους ἀγνάφου ἐπιρράπτει ἐπὶ ἱματίῳ παλαιῷ· εἰ δὲ μὴ,
aufert supplementum ipsius nouum ‖veteris, & peior scissura
αἴρει τὸ πλήρωμα αὐτοῦ τὸ καινὸν τοῦ παλαιοῦ, κὴ χεῖρον σχίσμα
fit. Et nemo ρ iniicit vinum nouū in vtres veteres:
22 γίνεται. καὶ οὐδεὶς βάλλει οἶνον νέον εἰς ἀσκοὺς παλαιούς·
*si vero non, dirumpit vinum nouum vtres, & vinum
εἰ δὲ μὴ,* ῥήσσει ὁ οἶνος ὁ νέος τοὺς ἀσκοὺς, καὶ ὁ οἶνος
*effunditur, & vtres ‖pereunt: sed vinum nouum in vtres
ἐκχεῖται, κὴ οἱ ἀσκοὶ ἀπολοῦνται· ἀλλὰ οἶνον νέον εἰς ἀσκοὺς
nouos ρiniiciendum. Et factum est *præteruadere eum in
23 καινοὺς † βλητέον. κὴ ἐγένετο παραπορεύεσθαι αὐτὸν ἐν τοῖς
Sabbatis per sata: & cœperunt discipuli eius *iter
σάββασι διὰ τῶν σπορίμων, κὴ ἤρξαντο οἱ μαθηταὶ αὐτοῦ ὁδὸν
facere vellentes spicas. Et Pharisæi ‖dicebant
24 ποιεῖν τίλλοντες τοὺς στάχυας. κὴ οἱ φαρισαῖοι ἔλεγον
ei: Ecce quid faciunt ρin Sabbatis quod non licet?
αὐτῷ, ἴδε τί ποιοῦσιν ἐν τοῖς σάββασιν, ὃ οὐκ ἔξεστι;
Et ipse ait illis, Nunquam legistis quid fecerit
25 καὶ αὐτὸς ἔλεγεν αὐτοῖς, οὐδέποτε ἀνέγνωτε τί ἐποίησε
Dauid, quando *vsum habuit, & esuriuit ipse, & qui cum eo*?
δαβὶδ, ὅτε χρείαν ἔσχε, καὶ ἐπείνασεν αὐτὸς κὴ οἱ μετ' αὐτοῦ;
Quomodo introiuit in domum Dei sub Abiathar principe
26 πῶς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ θεοῦ ἐπὶ ἀβιάθαρ τοῦ ἀρ-
Sacerdotum, & panes propositionis māducauit, quos non‖ licet
χιερέως, καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔφαγεν, οὓς οὐκ ἔξεστι
māducare ρsi non Sacerdotibus, & dedit *& iis cum eo *existentibus?
φαγεῖν εἰ μὴ τοῖς ἱερεῦσι, κὴ ἔδωκε κὴ τοῖς σὺν αὐτῷ οὖσι;
Et dicebat eis: Sabbatum propter hominem factum
27 καὶ ἔλεγεν αὐτοῖς, τὸ σάββατον διὰ τὸν ἄνθρωπον ἐγένε-
est, ‖non homo propter Sabbatum. Itaque dominus est
28 το, οὐχ ὁ ἄνθρωπος διὰ τὸ σάββατον· ὥστε κύριός ἐστιν
filius hominis ρ & Sabbati.
ὁ υἱὸς τοῦ ἀνθρώπου κὴ τοῦ σαββάτου.

CAP. III. γ.

Et introiuit iterum in synagogam: & erat ibi
1 Καὶ εἰσῆλθε πάλιν εἰς τὴν συναγωγὴν, κὴ ἦν ἐκεῖ
homo *arefactam habens manum: Et obserua-
2 ἄνθρωπος † ἐξηραμμένην ἔχων τὴν χεῖρα· κὴ παρετή-
bant eum si Sabbatis curaret eum: vt accu-
ρουν αὐτὸν εἰ τοῖς σάββασι θεραπεύσει αὐτὸν, ἵνα κατηγο-
sarent illum. Et ait homini *arefactam
3 ρήσωσιν αὐτοῦ. κὴ λέγει τῷ ἀνθρώπῳ τῷ ἐξηραμμένην
habenti manum: Surge in medium. Et dicit eis:
4 ἔχοντι τὴν χεῖρα, ἔγειραι εἰς τὸ μέσον. κὴ λέγει αὐτοῖς,
Licet Sabbatis benefacere, an malefacere? animam
ἔξεστι τοῖς σάββασιν ἀγαθοποιῆσαι, ἢ κακοποιῆσαι; ψυχὴν
‖seruare, an perdere? ρ Illi vero tacebant. Et circunspiciens
5 σῶσαι, ἢ ἀποκτεῖναι; οἱ δὲ ἐσιώπων. καὶ περιβλεψάμενος

*ad ‖omnisque ρ Cùm præteriret *cùm recumberet *cùm ‖qui ρquia māducaret *Quare *magister vester? Hoc audito ‖ necesse ρsani *qui malè habēt *enim ‖Pharisæi ρ tui autem *Nunquid *nuptiarum quamdiu *Quanto tempore secum ἀφαιρέομαι ρassumentum *rudis *alioquin ‖à veteri, & maior ρmittit *alioquin dirumpet *funditur, * ῥήσσω ‖peribunt: ρmitti debet, † βάλλω *iterum cùm ambularet *progredi & vellere ‖autem ρ discipuli tui *necessitatem *erant? *licebat ρnisi *eis & qui *erant? ‖& ρ etiam *aridam ξηραίνομαι *aridam ‖saluam facere ρAt

cor cum ira, contristatus super *callo cor-
αὐτοὺς μετ' ὀργῆς, συλλυπούμενος ἐπὶ τῇ πωρώσει τῆς καρ-
dis eorum, dicit homini: Extende manum tuam. Et
δίας αὐτῶν, λέγει τῷ ἀνθρώπῳ, ἔκτεινον τὴν χεῖρά σου. καὶ
extendit: & restituta est manus ||illius sana vt altera.
ἐξέτεινε, καὶ †ἀποκατεστάθη ἡ χεὶρ αὐτοῦ ὑγιὴς ὡς ἡ ἄλλη.
Et exeuntes ρ Pharisæi, statim cum Herodianis con-
καὶ ἐξελθόντες οἱ φαρισαῖοι, εὐθέως μετὰ τῶν ἡρωδιανῶν συμ- 6
silium faciebant aduersus eum, *vt eum perderent.
βούλιον ἐποίουν κατ' αὐτοῦ, ὅπως αὐτὸν ἀπολέσωσι.
Et Iesus* secessit cum discipulis suis ad ma-
καὶ ὁ ἰησοῦς ἀνεχώρησε μετὰ τῶν μαθητῶν αὐτοῦ πρὸς τὴν θά- 7
re: & multa turba à Galilæa secuta est eum,
λασσαν· καὶ πολὺ πλῆθος ἀπὸ τῆς γαλιλαίας ἠκολούθησεν αὐτῷ,
& à Iudæa, Et ab Hierosolymis, & ab
καὶ ἀπὸ τῆς ἰουδαίας, καὶ ἀπὸ ἱεροσολύμων, καὶ ἀπὸ τῆς 8
Idumæa, & trans Iordanem, & qui circa Tyrum & Sidonem,
ἰδουμαίας, καὶ πέραν τοῦ ἰορδάνου· καὶ οἱ περὶ τύρον καὶ σιδῶνα,
multitudo magna, audientes quæ faciebat, venerunt ad eum.
πλῆθος πολὺ, ἀκούσαντες ὅσα ἐποίει, ἦλθον πρὸς αὐτόν.
Et dixit discipulis suis, vt nauicula ||adsisteret
καὶ εἶπε τοῖς μαθηταῖς αὐτοῦ, ἵνα πλοιάριον προσκαρτερῇ 9
sibi, propter turbam, vt ne comprimerent eum.
αὐτῷ, διὰ τὸν ὄχλον, ἵνα μὴ θλίβωσιν αὐτόν.
Multos enim ρsanauerat, ita vt *irruere ei, vt
πολλοὺς γὰρ ἐθεράπευσεν, ὥστε ἐπιπίπτειν αὐτῷ, ἵνα 10
illum tangerent, quotquot habebant *flagella. Et spiritus
αὐτοῦ ἅψωνται, ὅσοι εἶχον μάστιγας. καὶ τὰ πνεύματα 11
immundi cùm illum ||spectabant, accidebant ei: &
τὰ ἀκάθαρτα ὅταν αὐτὸν ἐθεώρει, προσέπιπτεν αὐτῷ, καὶ
clamabant, dicentes: Quod tu es filius Dei.
ἔκραζε λέγοντα, ὅτι σὺ εἶ ὁ υἱὸς τοῦ θεοῦ.
Et ρmulta comminabatur eis, vt ne *manifestum illum facerent.
καὶ πολλὰ ἐπετίμα αὐτοῖς, ἵνα μὴ φανερὸν αὐτὸν ποιήσωσι. 12
Et *ascendit in montem, & ||aduocat quos voluit ipse:
καὶ ἀναβαίνει εἰς τὸ ὄρος, καὶ προσκαλεῖται οὓς ἤθελεν αὐτός· 13
& venerunt ad eum. Et fecit duodecim vt
καὶ ἀπῆλθον πρὸς αὐτόν· καὶ ἐποίησε δώδεκα, ἵνα 14
essent cum illo: & vt mitteret eos prædicare:
ὦσι μετ' αὐτοῦ, καὶ ἵνα ἀποστέλλῃ αὐτοὺς κηρύσσειν·
Et ρhabere auctoritatem curare infirmitates, & *eiicere
καὶ ἔχειν ἐξουσίαν θεραπεύειν τὰς νόσους, καὶ ἐκβάλλειν τὰ 15
dæmonia. Et imposuit Simoni nomen *Petrum:
δαιμόνια. καὶ ἐπέθηκε τῷ σίμωνι ὄνομα πέτρον· 16
Et Iacobum Zebedæi, & Ioannem fratrem
καὶ ἰάκωβον τὸν τοῦ ζεβεδαίου, καὶ ἰωάννην τὸν ἀδελφὸν τοῦ 17
Iacobi: & imposuit eis nomina Boanerges, quod est,
ἰακώβου· καὶ ἐπέθηκεν αὐτοῖς ὀνόματα βοανεργὲς, ὅ ἐστιν,
Filij tonitrui: Et Andream, & Philippum, & Bartholomæum,
υἱοὶ βροντῆς· καὶ ἀνδρέαν, καὶ φίλιππον, καὶ βαρθολομαῖον, 18
& Matthæum, & Thomam, & Iacobum Alphæi, & Thad-
καὶ ματθαῖον, καὶ θωμᾶν, καὶ ἰάκωβον τὸν τοῦ ἀλφαίου, καὶ θαδ-
dæum, & Simonem ||Cananitem.
δαῖον, καὶ σίμωνα τὸν κανανίτην·
Et Iudam Iscarioten, qui & tradidit illum.
καὶ ἰούδαν ἰσκαριώτην, ὃς καὶ παρέδωκεν αὐτόν. 19
Et veniunt ad domum: & conuenit iterum turba,
καὶ ἔρχονται εἰς οἶκον· καὶ συνέρχεται πάλιν ὄχλος, 20
ita vt non ρposse ipsos neque panem manducare.
ὥστε μὴ δύνασθαι αὐτοὺς μήτε ἄρτον φαγεῖν.
Et *audientes qui ad ipsum, exierunt *prehendere eum: dice-
καὶ ἀκούσαντες οἱ παρ' αὐτοῦ, ἐξῆλθον κρατῆσαι αὐτόν· ἔλε- 21
bant enim, ||Quòd extra se esset. Et Scribæ qui ab Hierosolymis
γον γὰρ, ὅτι ἐξέστη. καὶ οἱ γραμματεῖς οἱ ἀπὸ ἱεροσολύμων 22
ρdescendentes, dicebant: Quoniã Beelzebub habet, & quia in principe
καταβάντες, ἔλεγον, ὅτι βεελζεβοὺλ ἔχει, καὶ ὅτι ἐν τῷ ἄρχοντι
dæmoniorum eiicit dæmonia. Et *aduo-
τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια. καὶ προσκαλεσά- 23
cans eos, in parabolis dicebat illis: Quomodo potest
μενος αὐτοὺς, ἐν παραβολαῖς ἔλεγεν αὐτοῖς, πῶς δύναται
satanas satanam eiicere? Et si regnum in seipsum
σατανᾶς σατανᾶν ἐκβάλλειν; καὶ ἐὰν βασιλεία ἐφ' ἑαυτὴν 24
diuidatur, non potest stare regnum illud. Et si do-
μερισθῇ, οὐ δύναται σταθῆναι ἡ βασιλεία ἐκείνη· καὶ ἐὰν οἰ- 25
mus super semetipsam dispertiatur, non potest stare domus illa.
κία ἐφ' αὐτὴν μερισθῇ, οὐ δύναται σταθῆναι ἡ οἰκία ἐκείνη·
Et si satanas consurrexerit in semetipsũ, dispertitus est, ρnon *potest
καὶ εἰ ὁ σατανᾶς ἀνέστη ἐφ' ἑαυτὸν, μεμέρισται, οὐ δύναται 26
stare, sed finem habet. Nemo potest vasa
σταθῆναι, ἀλλὰ τέλος ἔχει. οὐδεὶς δύναται τὰ σκεύη τοῦ 27
fortis, ingressus in domum eius, diripere, *si non
ἰσχυροῦ, εἰσελθὼν εἰς τὴν οἰκίαν αὐτοῦ, διαρπάσαι, ἐὰν μὴ
prius fortem alliget: & tunc domum eius diripiet.
πρῶτον τὸν ἰσχυρὸν δήσῃ· καὶ τότε τὴν οἰκίαν αὐτοῦ διαρπάσει.
Amen dico vobis: Quoniã omnia dimittentur peccata
ἀμὴν λέγω ὑμῖν, ὅτι πάντα †ἀφεθήσεται τὰ ἁμαρτήματα 28
filiis hominum, & blasphemiæ ||quascunque blasphe-
τοῖς υἱοῖς τῶν ἀνθρώπων, καὶ βλασφημίαι ὅσας ἂν βλασφη-
mauerint: Qui autem blasphemauerit in Spiritum sanctum, non
μήσωσιν· ὃς δ' ἂν βλασφημήσῃ εἰς τὸ πνεῦμα τὸ ἅγιον, οὐκ 29
ρhabet remissionẽ in æternum, sed *obnoxius est æterni *iudicij.
ἔχει ἄφεσιν εἰς τὸν αἰῶνα, ἀλλ' ἔνοχός ἐστιν αἰωνίου κρίσεως·

* cæcitate
||illi
ἀποκαθίστημι
ρ autem
* quomodo
* autem
|| deseruiret
ρ sanabat,
* irruerent in eũ,
* plagas.
|| videbant, procidebant
ρ vehementer
* manifestarent
* ascendens
|| vocauit ad se
ρ dedit illis potestatem curandi
* eiiciendi
* Petrus.
|| Cananæum,
ρ possent
* cùm audissent sui,
* tenere
|| Quoniam in furorem versus est.
ρ descenderant,
* conuocatis eis,
ρ & * poterit
* nisi
ἀφίημι
|| quibus
ρ habebit
* reus erit
* delicti.

Quoniã dicebant: Spiritum immundum habet.
30 ὅτι ἔλεγον, πνεῦμα ἀκάθαρτον ἔχει.
*Veniunt igitur fratres & mater eius: & foris stantes,
31 ἔρχονται οὖν οἱ ἀδελφοὶ καὶ ἡ μήτηρ αὐτοῦ· καὶ ἔξω ἑστῶτες,
miserunt ad eum vocantes eum. Et sedebat
32 ἀπέστειλαν πρὸς αὐτὸν φωνοῦντες αὐτόν. καὶ ἐκάθητο
turba circa eum: ||dicebant verò ei: Ecce mater tua, &
ὄχλος περὶ αὐτόν· εἶπον δὲ αὐτῷ, ἰδοὺ ἡ μήτηρ σου, καὶ οἱ
fratres tui, & sorores tuæ foris quærunt te.
ἀδελφοί σου, καὶ αἱ ἀδελφαί σου ἔξω ζητοῦσί σε.
Et ρrespondit eis, dicens: Quæ est mater mea, *aut
33 καὶ ἀπεκρίθη αὐτοῖς, λέγων, τίς ἐστιν ἡ μήτηρ μου, ἢ οἱ
fratres mei? Et circumspiciens *circulo circa se
34 ἀδελφοί μου; καὶ περιβλεψάμενος κύκλῳ τοὺς περὶ αὐτὸν
sedentes, ait: Ecce mater mea, & fratres mei.
καθημένους, λέγει, ἴδε ἡ μήτηρ μου, καὶ οἱ ἀδελφοί μου·
Qui enim fecerit voluntatem Dei, hic frater meus,
35 ὃς γὰρ ἂν ποιήσῃ τὸ θέλημα τοῦ θεοῦ, οὗτος ἀδελφός μου,
& soror mea, & mater est.
καὶ ἀδελφή μου, καὶ μήτηρ ἐστί.

CAP. IIII. δ'.

Et iterum cœpit docere ||iuxta mare: & ρco-
1 Καὶ πάλιν ἤρξατο διδάσκειν παρὰ τὴν θάλασσαν. καὶ συν-
acta est ad eum turba multa, ita vt *ipsum ascendentem in
ήχθη πρὸς αὐτὸν ὄχλος πολὺς, ὥστε αὐτὸν ἐμβάντα εἰς τὸ
nauigium, sedere in mari: & omnis turba *ad
πλοῖον, καθῆσθαι ἐν τῇ θαλάσσῃ· καὶ πᾶς ὁ ὄχλος πρὸς τὴν
mare super terram erat. Et docebat eos in para-
2 θάλασσαν ἐπὶ τῆς γῆς ἦν. καὶ ἐδίδασκεν αὐτοὺς ἐν παρα-
bolis multa, & dicebat illis in doctrina sua:
βολαῖς πολλὰ, καὶ ἔλεγεν αὐτοῖς ἐν τῇ διδαχῇ αὐτοῦ·
Audite: Ecce exiit seminans ||seminare:
3 ἀκούετε· ἰδοὺ ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι·
Et ρfactum est in seminando, hoc quidem cecidit circa viam:
4 καὶ ἐγένετο ἐν τῷ σπείρειν, ὃ μὲν ἔπεσε παρὰ τὴν ὁδὸν,
& venerunt volucres cæli, & *deuorauerunt illud.
καὶ ἦλθε τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ κατέφαγεν αὐτό.
Aliud verò cecidit super petrosa, vbi non habuit terrã mul-
5 ἄλλο δὲ ἔπεσεν ἐπὶ τὸ πετρῶδες, ὅπου οὐκ εἶχε γῆν πολ-
tam: & statim exortum est, *propter non habere profunditatẽ terræ:
λὴν, καὶ εὐθέως ἐξανέτειλε, διὰ τὸ μὴ ἔχειν βάθος γῆς·
||Sole autem exoriente, æstuauit: & ρob non habere
6 ἡλίου δὲ ἀνατείλαντος, †ἐκαυματίσθη, καὶ διὰ τὸ μὴ ἔχειν
radicem, exaruit. Et aliud cecidit in spinas: & ascen-
7 ῥίζαν, *ἐξηράνθη. καὶ ἄλλο ἔπεσεν εἰς τὰς ἀκάνθας, καὶ ἀνέ-
derunt spinæ, & suffocauerunt illud, & fructum non dedit.
βησαν αἱ ἄκανθαι, καὶ †συνέπνιξαν αὐτὸ, καὶ καρπὸν οὐκ ἔδωκε.
Et aliud cecidit in terram *pulchram: & dabat fructum ascen-
8 καὶ ἄλλο ἔπεσεν εἰς τὴν γῆν τὴν καλὴν, καὶ ἐδίδου καρπὸν ἀνα-
dentem & crescentem: & afferebat vnũ triginta, & vnũ sexa-
βαίνοντα καὶ αὐξάνοντα, καὶ ἔφερεν ἓν τριάκοντα, καὶ ἓν ἑξή-
ginta, & vnũ centum. & dicebat: *Habens aures ||audire, audiat.
9 κοντα, καὶ ἓν ἑκατόν. καὶ ἔλεγεν, ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.
ρCùm autẽ factus esset solus, interrogauerunt eum *qui circa eum
10 ὅτε δὲ ἐγένετο καταμόνας, ἠρώτησαν αὐτὸν οἱ περὶ αὐτὸν
cum duodecim, parabolam. Et dicebat eis: Vobis
11 σὺν τοῖς δώδεκα τὴν παραβολήν. καὶ ἔλεγεν αὐτοῖς, ὑμῖν
datum est nosse mysterium regni Dei: illis autem
δέδοται γνῶναι τὸ μυστήριον τῆς βασιλείας τοῦ θεοῦ· ἐκείνοις δὲ
*foris||, in parabolis omnia fiunt: Vt ρaspicientes
12 τοῖς ἔξω ἐν παραβολαῖς τὰ πάντα γίνεται, ἵνα βλέποντες
aspiciant, & non videant: & audientes audiant, & non
βλέπωσι, καὶ μὴ ἴδωσι· καὶ ἀκούοντες ἀκούωσι, καὶ μὴ
intelligant: ne quando conuertantur, & dimittantur eis pec-
συνιῶσι· μήποτε ἐπιστρέψωσι, καὶ ἀφεθῇ αὐτοῖς τὰ ἁμαρ-
cata. Et ait illis: Nescitis parabolam
13 τήματα. καὶ λέγει αὐτοῖς, οὐκ οἴδατε τὴν παραβολὴν
hanc? & quomodo omnes parabolas cognoscetis?
ταύτην; καὶ πῶς πάσας τὰς παραβολὰς γνώσεσθε;
*Seminans, verbum seminat: Hi autem sunt qui circa
14 ὁ σπείρων, τὸν λόγον σπείρει· οὗτοι δέ εἰσιν οἱ παρὰ
viam, vbi seminatur verbum, & cùm audierint, confestim
15 τὴν ὁδὸν, ὅπου σπείρεται ὁ λόγος, καὶ ὅταν ἀκούσωσιν, εὐθέως
venit satanas, & aufert verbum *seminatum|| in
ἔρχεται ὁ σατανᾶς, καὶ αἴρει τὸν λόγον τὸν ἐσπαρμένον ἐν ταῖς
cordibus eorum. Et hi sunt similiter ρin petrosa
16 καρδίαις αὐτῶν. καὶ οὗτοί εἰσιν ὁμοίως οἱ ἐπὶ τὰ πετρώδη
*seminati, qui cùm audierint verbum, statim cum gaudio
σπειρόμενοι, οἳ ὅταν ἀκούσωσι τὸν λόγον, εὐθέως μετὰ χαρᾶς
accipiunt illud: Et non habent radicem in seipsis,
17 λαμβάνουσιν αὐτόν· καὶ οὐκ ἔχουσι ῥίζαν ἐν ἑαυτοῖς,
sed temporales sunt: deinde orta tribulatione, *aut persecutione
ἀλλὰ πρόσκαιροί εἰσιν· εἶτα γενομένης θλίψεως, ἢ διωγμοῦ
propter verbum, confestim scandalizantur.
διὰ τὸν λόγον, εὐθὺς σκανδαλίζονται.
Et ||hi sunt qui in ρspinas seminati, hi sunt
18 καὶ οὗτοί εἰσιν οἱ εἰς τὰς ἀκάνθας σπειρόμενοι, οὗτοί εἰσιν,
qui verbum *audientes, Et *curæ seculi huius,
19 οἱ τὸν λόγον ἀκούοντες, καὶ αἱ μέριμναι τοῦ αἰῶνος τούτου,
& deceptio diuitiarum, & circa reliqua ||cupiditates intro-
καὶ ἡ ἀπάτη τοῦ πλούτου, καὶ αἱ περὶ τὰ λοιπὰ ἐπιθυμίαι εἰσπο-
ρευόμεναι

* Et
|| & dicunt
ρ respondens eis, ait: *&
* eos qui in circuitu eius sedebant.
|| ad
ρ congregata
* nauim ascendens sederet
* circa
|| ad seminandum:
ρ dum seminat, aliud
* comederunt
* quoniam non habebat altitudinem
|| Et quando exortus est sol,
ρ eo quòd non habebat
† καυματίζομαι
* ξηραίνομαι
† συμπνίγω
* bonam:
* Qui habet
|| audiendi,
ρ Et cùm esset singularis,
* hi qui cum eo erant
* qui || sunt,
ρ videntes videãt,
* Qui seminat,
* quod || est
ρ qui super
* seminantur,
* &
|| alij
ρ spinis seminantur
* audiunt,
* ærumnæ
|| concupiscentiæ

eunte s suffocant verbum, & *infructuosum efficitur.
ρευόμεναι συμπνίγουσι τὸν λόγον, καὶ ἄκαρπος γίνεται.
Et hi sunt ‖in terram ♀pulchram seminati §, qui
καὶ οὗτοί εἰσιν οἱ ἐπὶ τὴν γῆν τὴν καλὴν σπαρέντες, οἵτινες 20
audiunt verbum, & suscipiunt, & *fructum ferunt, vnum
ἀκούουσι τὸν λόγον, καὶ παραδέχονται, καὶ καρποφοροῦσιν, ἓν
triginta, & vnum sexaginta, & vnum centum. Et dicebat
τριάκοντα, καὶ ἓν ἑξήκοντα, καὶ ἓν ἑκατόν. καὶ ἔλεγεν 21
illis: Nunquid lucerna venit vt sub modio ponatur, aut
αὐτοῖς, μήτι ὁ λύχνος ἔρχεται, ἵνα ὑπὸ τὸν μόδιον † τεθῇ, ἢ
sub lecto? nonne vt super candelabrum imponatur?
ὑπὸ τὴν κλίνην; οὐχ ἵνα ἐπὶ τὴν λυχνίαν ἐπιτεθῇ;
Nō enim est aliquid absconditū, quod non manifestetur: nec factum est
οὐ γάρ ἐστί τι κρυπτὸν, ὃ ἐὰν μὴ φανερωθῇ· οὐδὲ ἐγένετο 22
occultum, sed vt in palam veniat. Si quis habet aures
ἀπόκρυφον, ἀλλ' ἵνα εἰς φανερὸν ἔλθῃ. εἴ τις ἔχει ὦτα 23
‖audire, audiat. Et dicebat illis: Videte quid audiatis.
ἀκούειν, ἀκουέτω. καὶ ἔλεγεν αὐτοῖς, βλέπετε τί ἀκούετε. 24
In qua mensura mensi fueritis, remetietur vobis, & adiicietur vobis
ἐν ᾧ μέτρῳ μετρεῖτε, μετρηθήσεται ὑμῖν, καὶ προστεθήσεται ὑμῖν
audientibus. Qui enim habet, dabitur illi: & qui
τοῖς ἀκούουσιν. ὃς γὰρ ἂν ἔχῃ, δοθήσεται αὐτῷ· καὶ ὃς 25
non habet, ♀& quod habet auferetur ab eo. Et dicebat: Sic
οὐκ ἔχει, καὶ ὃ ἔχει † ἀρθήσεται ἀπ' αὐτοῦ. καὶ ἔλεγεν, οὕτως 26
est regnum Dei, quēadmodū si homo iaciat sementem
ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ, ὡς ἐὰν ἄνθρωπος βάλῃ τὸν σπόρον
in terram, Et dormiat, & §excitetur nocte & die: &
tuus, fac me sicut vnum * mercenariorum tuorum.
σου· ποίησόν με ὡς ἕνα τῶν μισθίων σου.
Et surgens venit ad patrem suum: * adhuc autem eo longè
καὶ ἀναστὰς ἦλθε πρὸς τὸν πατέρα αὐτοῦ. ἔτι δὲ αὐτοῦ μακρὰν 20
absente, vidit illum pater ipsius, & misericordia motus est: & ‖ cur-
ἀπέχοντος, εἶδεν αὐτὸν ὁ πατὴρ αὐτοῦ, καὶ ἐσπλαγχνίσθη· καὶ δραμὼν
rens cecidit super collum eius, & osculatus est eum.
ἐπέπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ, καὶ κατεφίλησεν αὐτόν.
Dixit ρ autem ei filius: Pater, peccaui in cælum, &
εἶπε δὲ αὐτῷ ὁ υἱός, πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν, καὶ 21
coram te, * & non amplius sum dignus vocari filius tuus.
ἐνώπιόν σου, καὶ οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου.

Dixit autem pater ad seruos suos: * Afferte
εἶπε δὲ ὁ πατὴρ πρὸς τοὺς δούλους αὐτοῦ, ἐξενέγκατε τὴν 22
stolam primam, & induite illum, & date annulum
στολὴν τὴν πρώτην, καὶ ἐνδύσατε αὐτὸν, καὶ δότε δακτύλιον
in manum eius, & calceamenta in pedes ‖.
εἰς τὴν χεῖρα αὐτοῦ, καὶ ὑποδήματα εἰς τοὺς πόδας.
Et ρ afferentes vitulum saginatum * occidite, & * comedentes
καὶ ἐνεγκάντες τὸν μόσχον τὸν σιτευτὸν θύσατε, καὶ φαγόντες 23
oblectemur. Quia hic filius meus mortuus erat, & reuixit:
εὐφρανθῶμεν. ὅτι οὗτος ὁ υἱός μου νεκρὸς ἦν, καὶ ἀνέζησε·
‖ & perditus fuerat, & inuentus est. & cœperunt ρ oblectari.
καὶ ἀπολωλὼς ἦν, καὶ εὑρέθη· καὶ ἤρξαντο εὐφραίνεσθαι.
Erat autem filius eius senior in agro: & * vt ve-
Ἦν δὲ ὁ υἱὸς αὐτοῦ ὁ πρεσβύτερος ἐν ἀγρῷ· καὶ ὡς ἐρχό- 25
niens appropinquauit domui, audiuit symphoniam & * choros.
μενος ἤγγισε τῇ οἰκίᾳ, ἤκουσε συμφωνίας καὶ χορῶν.
Et ‖ aduocans vnum ρ puerorum, interrogauit quid
καὶ προσκαλεσάμενος ἕνα τῶν παίδων, ἐπυνθάνετο τί 26
essent hæc. Is * autem dixit illi: Quia frater tuus
εἴη ταῦτα. ὁ δὲ εἶπεν αὐτῷ, ὅτι ὁ ἀδελφός σου 27
venit: & occidit pater tuus vitulum saginatum: quia
ἥκει· καὶ ἔθυσεν ὁ πατήρ σου τὸν μόσχον τὸν σιτευτὸν· ὅτι
* valentem illum recepit.
ὑγιαίνοντα αὐτὸν ἀπέλαβεν.
Indignatus est autem, & ‖ non volebat introire. ergo pater
ὠργίσθη δὲ, καὶ οὐκ ἤθελεν εἰσελθεῖν. ὁ οὖν πατὴρ 28
illius egressus ρ aduocabat illum.
αὐτοῦ ἐξελθὼν παρεκάλει αὐτόν.
* Is autem respondens dixit patri *: Ecce tot ‖ annos seruio
ὁ δὲ ἀποκριθεὶς εἶπε τῷ πατρί· ἰδοὺ τοσαῦτα ἔτη δουλεύω 29
tibi, & nunquam mandatum tuum præteriui, & mihi nunquam
σοι, καὶ οὐδέποτε ἐντολήν σου παρῆλθον· καὶ ἐμοὶ οὐδέποτε
dedisti hœdum, vt cum amicis meis ρ oblectarer.
ἔδωκας ἔριφον, ἵνα μετὰ τῶν φίλων μου εὐφρανθῶ.
* Cùm autem filius tuus hic * deuorans tuam vitam cum mere-
ὅτε δὲ ὁ υἱός σου οὗτος ὁ καταφαγών σου τὸν βίον μετὰ πορ- 30
tricibus, venit, occidisti illi vitulum saginatum.
νῶν, ἦλθεν, ἔθυσας αὐτῷ τὸν μόσχον τὸν σιτευτόν.
‖ Is autem dixit illi: Fili, tu semper cum me es, & om-
ὁ δὲ εἶπεν αὐτῷ, τέκνον, σὺ πάντοτε μετ' ἐμοῦ εἶ, καὶ πάν- 31
nia mea tua sunt. ρ Oblectari autem & gaudere
τα τὰ ἐμὰ σά ἐστιν. εὐφρανθῆναι δὲ καὶ χαρῆναι
oportebat, quia frater tuus hic mortuus erat, & reuixit: & * pe-
ἔδει· ὅτι ὁ ἀδελφός σου οὗτος νεκρὸς ἦν, καὶ ἀνέζησε· καὶ ἀπο-
riens erat, & inuentus est.
λωλὼς ἦν, καὶ εὑρέθη.

CAP. XVI. ις'.

Dicebat autem & ad discipulos suos: Homo quidam
Ἔλεγε δὲ καὶ πρὸς τοὺς μαθητὰς αὐτοῦ, ἄνθρωπός τις 1
erat diues qui habebat * dispensatorem, & hic ‖ delatus est ei,
ἦν πλούσιος, ὃς εἶχεν οἰκονόμον, καὶ οὗτος διεβλήθη αὐτῷ,
vt dissipans substantias illius. Et ρ vocauit
ὡς διασκορπίζων τὰ ὑπάρχοντα αὐτοῦ. καὶ φωνήσας
illum, * ait illi: Quid hoc audio de te? redde rationem
αὐτὸν, εἶπεν αὐτῷ, τί τοῦτο ἀκούω περὶ σοῦ; ἀπόδος τὸν λόγον
* dispensationis tuæ, non enim poteris ‖ adhuc dispensare.
τῆς οἰκονομίας σου· οὐ γὰρ δυνήσῃ ἔτι οἰκονομεῖν.
Ait autem ρ in ipso dispensator: Quid faciam, quia dominus meus
εἶπε δὲ ἐν ἑαυτῷ ὁ οἰκονόμος, τί ποιήσω, ὅτι ὁ κύριός μου 3
aufert * dispensationem à me? fodere non valeo,
ἀφαιρεῖται τὴν οἰκονομίαν ἀπ' ἐμοῦ; σκάπτειν οὐκ ἰσχύω,
mendicare erubesco. Scio quid faciam, vt cùm amotus
ἐπαιτεῖν αἰσχύνομαι. ἔγνων τί ποιήσω, ἵνα ὅταν μετα- 4
fuero * dispensatione, recipiant me in domos suas.
σταθῶ τῆς οἰκονομίας, δέξωνταί με εἰς τοὺς οἴκους αὐτῶν.
‖ Et conuocans vnumquemque debitorum domini
καὶ προσκαλεσάμενος ἕνα ἕκαστον τῶν χρεωφειλετῶν τοῦ κυρίου 5
sui, dicebat primo: Quantum debes domino meo?
ἑαυτοῦ, ἔλεγε τῷ πρώτῳ, πόσον ὀφείλεις τῷ κυρίῳ μου;
ρ Is autem dixit: Centum * batos olei. & dixit illi: Accipe
ὁ δὲ εἶπεν, ἑκατὸν βάτους ἐλαίου. καὶ εἶπεν αὐτῷ, δέξαι 6
* tuum scriptum, & sedens citò scribe quinquaginta.
σου τὸ γράμμα, καὶ καθίσας ταχὺ γράψον πεντήκοντα.
Deinde alij dixit: Tu verò quantum debes? ‖ is autem ait:
ἔπειτα ἑτέρῳ εἶπε, σὺ δὲ πόσον ὀφείλεις; ὁ δὲ εἶπεν, 7
Centum coros tritici. & ait illi: Accipe tuas literas,
ἑκατὸν κόρους σίτου. καὶ λέγει αὐτῷ, δέξαι σου τὸ γράμμα,
& scribe octoginta. Et laudauit dominus
καὶ γράψον ὀγδοήκοντα. καὶ ἐπῄνεσεν ὁ κύριος 8
ρ dispensatorem iniustitiæ, quia prudenter fecisset: quia filij
τὸν οἰκονόμον τῆς ἀδικίας, ὅτι φρονίμως ἐποίησεν· ὅτι οἱ υἱοὶ τοῦ
seculi huius prudentiores * super filios lucis in
αἰῶνος τούτου φρονιμώτεροι ὑπὲρ τοὺς υἱοὺς τοῦ φωτὸς εἰς τὴν
* generationem suam sunt. Et ego vobis dico: Faci-
γενεὰν τὴν ἑαυτῶν εἰσιν. κἀγὼ ὑμῖν λέγω, ποιή- 9
te vobis ipsis amicos de mammona ‖ iniustitiæ, vt cùm
σατε ἑαυτοῖς φίλους ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας, ἵνα ὅταν
defeceritis, recipiant vos in æterna tabernacula.
ἐκλίπητε, δέξωνται ὑμᾶς εἰς τοὺς αἰωνίους σκηνάς.
ρ Fidelis * in minimo, & in * multo fidelis est: & ‖ in mo-
ὁ πιστὸς ἐν ἐλαχίστῳ, καὶ ἐν πολλῷ πιστός ἐστι· καὶ ὁ ἐν ἐλα- 10
χίστῳ

dico *iniustus, & in ‖ multo iniustus est. Si ergo in
ἐλαχίστῳ ἄδικος, καὶ ἐν πολλῷ ἄδικός ἐστιν. εἰ οὖν ἐν τῷ 11
ρ iniusto mammona fideles non fuistis, verum * quis vobis
ἀδίκῳ μαμωνᾷ πιστοὶ οὐκ ἐγένεσθε, τὸ ἀληθινὸν τίς ὑμῖν
credet? Et si in alieno fideles non fuistis,
πιστεύσει; καὶ εἰ ἐν τῷ ἀλλοτρίῳ πιστοὶ οὐκ ἐγένεσθε, 12
ˢ vestrum *quis vobis dabit? Nemo seruus potest
τὸ ὑμέτερον τίς ὑμῖν δώσει; οὐδεὶς οἰκέτης δύναται 13
duobus dominis seruire. aut enim vnum odiet, & alterum
δυσὶ κυρίοις δουλεύειν· ἢ γὰρ τὸν ἕνα μισήσει, καὶ τὸν ἕτερον
diliget: aut vni adhærebit, & alterum contemnet. non
ἀγαπήσει· ἢ ἑνὸς ἀνθέξεται, καὶ τοῦ ἑτέρου καταφρονήσει. οὐ
potestis Deo seruire & mammonæ.
δύνασθε θεῷ δουλεύειν καὶ μαμωνᾷ.
Audiebant autem hæc omnia & Pharisæi ˢ auari
ἤκουον δὲ ταῦτα πάντα καὶ οἱ φαρισαῖοι φιλάργυροι 14
subsistentes, & deridebant illum.
ὑπάρχοντες, καὶ † ἐξεμυκτήριζον αὐτόν.
Et ait illis: Vos estis iustificantes vos ipsos coram
καὶ εἶπεν αὐτοῖς, ὑμεῖς ἐστε οἱ δικαιοῦντες ἑαυτοὺς ἐνώπιον 15
hominibus, at Deus ‖ nouit corda vestra, quia quod
τῶν ἀνθρώπων, ὁ δὲ θεὸς γινώσκει τὰς καρδίας ὑμῶν, ὅτι τὸ
in hominibus altum ρ, abominatio ante Deum ρ erat.
ἐν ἀνθρώποις ὑψηλόν, βδέλυγμα ἐνώπιον τοῦ θεοῦ ἐστι.
Lex & Prophetæ vsque ad Ioannem: ˢ à tunc regnum
ὁ νόμος καὶ οἱ προφῆται ἕως ἰωάννου· ἀπὸ τότε ἡ βασιλεία 16
Dei euangelizatur, & omnis in illud vim facit.
τοῦ θεοῦ εὐαγγελίζεται, καὶ πᾶς εἰς αὐτὴν βιάζεται.
Facilius autem est cælum & terram præterire,
εὐκοπώτερον δέ ἐστιν τὸν οὐρανὸν καὶ τὴν γῆν παρελθεῖν, 17
quàm *Legis vnum apicem cadere. Omnis ‖ absoluens
ἢ τοῦ νόμου μίαν κεραίαν πεσεῖν. πᾶς ὁ ἀπολύων 18
vxorem suam, & ρ ducens alteram, mœchatur: & *omnis
τὴν γυναῖκα αὐτοῦ, καὶ γαμῶν ἑτέραν, μοιχεύει. καὶ πᾶς ὁ
dimissam à viro * ducens, mœchatur.
ἀπολελυμένην ἀπὸ ἀνδρὸς γαμῶν, μοιχεύει.
Homo autem quidā erat diues, ‖ & induebatur ρ purpuram & byssum, oblectabatur quotidie splendidè.
ἄνθρωπος δέ τις ἦν πλούσιος, καὶ ἐνεδιδύσκετο πορ- 19
φύραν καὶ βύσσον, εὐφραινόμενος καθ' ἡμέραν λαμπρῶς.
ˢ Pauper autem quidā erat nomine Lazarus, qui * eiectus erat ad
πτωχὸς δέ τις ἦν ὀνόματι λάζαρος, ὃς ἐβέβλητο πρὸς 20
ianuam eius ‖ vlcerosus. Et cupiens saturari
τὸν πυλῶνα αὐτοῦ ἡλκωμένος. καὶ ἐπιθυμῶν † χορτασθῆναι 21
de micis ρ cadentibus de mensa diuitis,ˢ
ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τοῦ πλουσίου·
sed & canes *venientes lingebant vlcera eius.
ἀλλὰ καὶ οἱ κύνες ἐρχόμενοι ἀπέλειχον τὰ ἕλκη αὐτοῦ.
Factum est autem ‖ mori pauperem, & asportari eum
ἐγένετο δὲ ἀποθανεῖν τὸν πτωχόν, καὶ ἀπενεχθῆναι αὐτὸν 22
ab angelis in sinum Abrahæ. Mortuus est autem
ὑπὸ τῶν ἀγγέλων εἰς τὸν κόλπον τοῦ ἀβραάμ· ἀπέθανε δὲ
& diues, & sepultus est. Et in inferno, eleuans ρ
καὶ ὁ πλούσιος, καὶ ἐτάφη. καὶ ἐν τῷ ᾅδῃ ἐπάρας 23
oculos suos, ˢ existens in tormentis, * videt Abraham
τοὺς ὀφθαλμοὺς αὐτοῦ, ὑπάρχων ἐν βασάνοις, ὁρᾷ τὸν ἀβραὰμ
à longè, & Lazarum in ‖ gremiis eius.
ἀπὸ μακρόθεν, καὶ λάζαρον ἐν τοῖς κόλποις αὐτοῦ.
Et ipse clamans dixit: Pater Abraham, miserere mei, &
καὶ αὐτὸς φωνήσας εἶπε, πάτερ ἀβραάμ, ἐλέησόν με, καὶ 24
mitte Lazarum, vt intingat extremum digiti sui
πέμψον λάζαρον, ἵνα βάψῃ τὸ ἄκρον τοῦ δακτύλου αὐτοῦ
ρ aqua, & refrigeret linguam meam, quia crucior in
ὕδατος, καὶ καταψύξῃ τὴν γλῶσσάν μου· ὅτι ὀδυνῶμαι ἐν
flamma hac. ˢ Dixit autem Abraham: Fili, re-
τῇ φλογὶ ταύτῃ· εἶπε δὲ ἀβραάμ, τέκνον, μνή- 25
cordare quia recepisti tu bona tua in vita tua, &
σθητι ὅτι ἀπέλαβες σὺ τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, καὶ
Lazarus similiter mala: nunc autem hic consolatur, tu verò
λάζαρος ὁμοίως τὰ κακά· νῦν δὲ ὅδε παρακαλεῖται, σὺ δὲ
cruciaris. Et in omnibus his, inter nos &
ὀδυνᾶσαι. καὶ ἐπὶ πᾶσι τούτοις, μεταξὺ ἡμῶν καὶ 26
vos * hiatus magnus confirmatus est, vt ‖ volentes transire
ὑμῶν χάσμα μέγα ἐστήρικται, ὅπως οἱ θέλοντες διαβῆναι
hinc ad vos, non possint: neque qui indè ρ ad nos
ἔνθεν πρὸς ὑμᾶς, μὴ δύνωνται· μηδὲ οἱ ἐκεῖθεν πρὸς ὑμᾶς
transmeent. Ait autem, Rogo ergo te, pater, vt
διαπερῶσιν. εἶπε δέ, ἐρωτῶ οὖν σε, πάτερ, ἵνα 27
mittas eum in domum patris mei.
πέμψῃς αὐτὸν εἰς τὸν οἶκον τοῦ πατρός μου.
Habeo enim quinque fratres: vt testetur illis,
ἔχω γὰρ πέντε ἀδελφούς, ὅπως διαμαρτύρηται αὐτοῖς, 28
ˢ vt non & ipsi veniant in locum hunc *tormenti.
ἵνα μὴ καὶ αὐτοὶ ἔλθωσιν εἰς τὸν τόπον τοῦτον τῆς βασάνου.
Ait illi Abraham: Habent Moysen, & Pro-
λέγει αὐτῷ ἀβραάμ, ἔχουσι μωσέα, καὶ τοὺς προ- 29
phetas: audiant illos.
φήτας· ἀκουσάτωσαν αὐτῶν.
‖ Is autem dixit: Non, pater Abraham: sed si quis ex mortuis
ὁ δὲ εἶπεν, οὐχί πάτερ ἀβραάμ· ἀλλ' ἐάν τις ἀπὸ νεκρῶν 30
ierit ad eos, ρ pœnitebunt.
πορευθῇ πρὸς αὐτούς, μετανοήσουσιν.
Ait autem illi: Si Moysen & Prophetas non audiunt,
31 εἶπε δὲ αὐτῷ, εἰ μωσέως καὶ τῶν προφητῶν οὐκ ἀκούουσιν,
neque si quis ex mortuis resurrexerit, credent.
οὐδὲ ἐάν τις ἐκ νεκρῶν ἀναστῇ, πεισθήσονται.

Margin notes (CAP. XVI): * iniquus est, ‖ maiori iniquus; ρ iniquo; ˢ quod * est; ˢ qui erant; ἐκμυκτηρίζω; * qui iustificatis; ‖ autem; ρ est; ˢ ex eo; * de Lege; ‖ qui dimittit; ρ qui ducit ˢ qui; * ducit; ‖ qui; ρ purpura & bysso, & epulabatur; ˢ Et erat mendicus; * iacebat; ‖ vlceribus plenus; χορτάζομαι; ρ quæ cadebant; ˢ & nemo illi dabat.; * veniebant, &; ‖ vt moreretur mendicus, & portaretur; ρ autem; ˢ cùm esset; * vidit; ‖ sinu; ρ in aquam, vt; ˢ Et; * chaos magnum firmatum; ‖ hi qui volunt; ρ huc transmeare.; Et; ˢ ne; * tormentorum; ‖ At ille; ρ pœnitentiam gerent.

CAP. XVII. ιζ.

*Ait autem ad discipulos ‖, Impossibile est ρ non ve-
1 Εἶπε δὲ πρὸς τοὺς μαθητάς, ἀνένδεκτόν ἐστι τοῦ μὴ ἐλ-
nire scandala: væ autem ˢ per quem veniunt.
θεῖν τὰ σκάνδαλα, οὐαὶ δὲ δι' οὗ ἔρχεται.
* Expedit illi, si ‖ mola asinaria circumponatur circa collum
2 λυσιτελεῖ αὐτῷ εἰ μύλος ὀνικὸς περίκειται περὶ τὸν τράχηλον
eius, & proiiciatur in mare, quàm vt scandalizet vnum
αὐτοῦ, καὶ ἔρριπται εἰς τὴν θάλασσαν, ἢ ἵνα σκανδαλίσῃ ἕνα
ρ paruorum istorum. Attendite vobis ipsis: si verò
3 τῶν μικρῶν τούτων. προσέχετε ἑαυτοῖς· ἐὰν δὲ
peccauerit in te frater tuus, increpa illum.
ἁμάρτῃ εἰς σὲ ὁ ἀδελφός σου, ἐπιτίμησον αὐτῷ.
Et si ρ pœnituerit, dimitte illi: & si septies
4 καὶ ἐὰν μετανοήσῃ, ἄφες αὐτῷ. καὶ ἐὰν ἑπτάκις τῆς
ˢ die peccauerit in te, & septies ˢ die conuersus fuerit
ἡμέρας ἁμάρτῃ εἰς σέ, καὶ ἑπτάκις τῆς ἡμέρας ἐπιστρέψῃ
ad te, dicens: * Pœniteo, dimittes illi.
ἐπὶ σε, λέγων, μετανοῶ, ἀφήσεις αὐτῷ.
Et dixerunt Apostoli Domino: ‖ Appone nobis fidem.
5 καὶ εἶπον οἱ ἀπόστολοι τῷ κυρίῳ· πρόσθες ἡμῖν πίστιν.
Dixit autem Dominus: Si haberetis fidem sicut granum sinapis,
6 εἶπε δὲ ὁ κύριος, εἰ εἴχετε πίστιν ὡς κόκκον σινάπεως,
diceretis vtique ρ sycamino huic, Eradicare, & ˢ plantator
ἐλέγετε ἂν τῇ συκαμίνῳ ταύτῃ, ἐκριζώθητι, καὶ φυτεύθητι
in mare; & obediret vtique vobis.
ἐν τῇ θαλάσσῃ· καὶ ὑπήκουσεν ἂν ὑμῖν.
Quis autem *ex vobis seruum habens arantem aut pascen-
7 τίς δὲ ἐξ ὑμῶν δοῦλον ἔχων ἀροτριῶντα ἢ ποιμαί-
tem ‖, qui regresso de agro dicat ρ statim, ˢ Adueniens
νοντα, ὃς εἰσελθόντι ἐκ τοῦ ἀγροῦ ἐρεῖ εὐθέως, παρελθὼν
recumbe. *Imò nonne dicet ei: Para quod
8 ἀνάπεσαι. ἀλλ' οὐχὶ ἐρεῖ αὐτῷ, ἑτοίμασον τί
cœnem, & ‖ circumcinctus ministra mihi, donec manducē &
δειπνήσω, καὶ περιζωσάμενος διακόνει μοι, ἕως φάγω καὶ
bibam, & post hæc manducabis & bibes tu?
πίω, καὶ μετὰ ταῦτα φάγεσαι καὶ πίεσαι σύ;
ρ Non gratiam habet seruo illi, quia fecit ˢ præ-
9 μὴ χάριν ἔχει τῷ δούλῳ ἐκείνῳ, ὅτι ἐποίησε τὰ δια-
cepta ei? non puto. Sic & vos cùm
10 ταχθέντα αὐτῷ; οὐ δοκῶ. οὕτω καὶ ὑμεῖς, ὅταν
feceritis omnia * præcepta ‖ vobis, dicite, quod serui
ποιήσητε πάντα τὰ διαταχθέντα ὑμῖν, λέγετε, ὅτι δοῦλοι
inutiles sumus, quia quod debuimus facere, fecimus:
ἀχρεῖοί ἐσμεν· ὅτι ὃ ὠφείλομεν ποιῆσαι, πεποιήκαμεν.
Et factum est ρ in proficisci ipsum in Hierusalem, & ii
11 καὶ ἐγένετο ἐν τῷ πορεύεσθαι αὐτὸν εἰς ἱερουσαλήμ, καὶ αὐτὸς
transibat per ˢ medium Samariæ & Galilææ.
διήρχετο διὰ μέσου σαμαρείας καὶ γαλιλαίας.
Et *ingrediente eo in quendam vicum, occurrerunt ei
12 καὶ εἰσερχομένου αὐτοῦ εἴς τινα κώμην, † ἀπήντησαν αὐτῷ
decem leprosi viri, qui steterunt alongè.
δέκα λεπροὶ ἄνδρες, οἳ ἔστησαν πόρρωθεν.
Et ipsi leuauerunt vocem, dicentes: Iesu præceptor, miserere nostri.
13 καὶ αὐτοὶ ἦραν φωνήν, λέγοντες, ἰησοῦ ἐπιστάτα, ἐλέησον ἡμᾶς.
‖ Et videns dixit eis: ρ Euntes ostendite vos
14 καὶ ἰδὼν εἶπεν αὐτοῖς, πορευθέντες ἐπιδείξατε ἑαυτοὺς τοῖς
sacerdotibus. & factū est ˢ in abeundo illos, mundati sunt.
ἱερεῦσι. καὶ ἐγένετο ἐν τῷ ὑπάγειν αὐτούς, ἐκαθαρίσθησαν.
Vnus autem ex illis * videns quòd sanatus esset, reuersus est cum voce
15 εἷς δὲ ἐξ αὐτῶν ἰδὼν ὅτι ἰάθη, ὑπέστρεψε μετὰ φωνῆς
magna ‖ glorificans Deum. Et cecidit in fa-
16 μεγάλης δοξάζων τὸν θεόν. καὶ ἔπεσεν ἐπὶ πρό-
ciem ante pedes eius, gratias agens ei: & hic erat
σωπον παρὰ τοὺς πόδας αὐτοῦ, εὐχαριστῶν αὐτῷ· καὶ αὐτὸς ἦν
Samaritanus. Respondens autem Iesus dixit: Nonne
17 σαμαρείτης. ἀποκριθεὶς δὲ ὁ ἰησοῦς εἶπεν, οὐχὶ
decem mundati sunt? ρ at nouem vbi ˢ? Non * sunt inuenti
18 οἱ δέκα ἐκαθαρίσθησαν; οἱ δὲ ἐννέα ποῦ; οὐχ εὑρέθησαν
redeuntes dare gloriam Deo, ‖ si non alienigena hic.
ὑποστρέψαντες δοῦναι δόξαν τῷ θεῷ, εἰ μὴ ὁ ἀλλογενὴς οὗτος.
Et ait illi: ρ Surgens vade: ˢ fides tua * seruauit te.
19 καὶ εἶπεν αὐτῷ, ἀναστὰς πορεύου· ἡ πίστις σου σέσωκέ σε.
Interrogatus autem à Pharisæis, quando venit
20 ἐπερωτηθεὶς δὲ ὑπὸ τῶν φαρισαίων πότε ἔρχεται ἡ
regnum Dei, respondit eis, & dixit: Non venit
βασιλεία τοῦ θεοῦ, ἀπεκρίθη αὐτοῖς, καὶ εἶπεν, οὐκ ἔρχεται ἡ
regnum Dei cum obseruatione. Neque dicent, Ecce
21 βασιλεία τοῦ θεοῦ μετὰ παρατηρήσεως· οὐδὲ ἐροῦσιν, ἰδοὺ
hic, aut ecce illic. ecce enim regnum Dei intra vos est.
ὧδε, ἢ ἰδοὺ ἐκεῖ· ἰδοὺ γὰρ ἡ βασιλεία τοῦ θεοῦ ἐντὸς ὑμῶν ἐστιν.
‖ Ait autem & ad discipulos ρ: Venient dies
22 εἶπε δὲ καὶ πρὸς τοὺς μαθητάς, ἐλεύσονται ἡμέραι
quando desideretis vnum ˢ dierum filij hominis
ὅτε ἐπιθυμήσετε μίαν τῶν ἡμερῶν τοῦ υἱοῦ τοῦ ἀνθρώπου
videre, & non videbitis.
ἰδεῖν, καὶ οὐκ ὄψεσθε.

Margin notes (CAP. XVII): *Et ‖ suos, ρ vt non veniant; ˢ illi; *Vtilius est; ‖ lapis molaris imponatur; ρ de pusillis istis; ρ pœnitentiam egerit; ˢ in die; * Pœnitet me, dimitte; ‖ Adauge; ρ arbori moro; ˢ transplantare; *vestrûm; ‖ boues, ρ illā; ˢ Transi &; * Et non dicat; ‖ præcinge te, &; ρ Nunquid; ˢ quæ imperauerat; *quæ ‖ sunt; ρ dum iret; ˢ mediam Samariam & Galilæam; *cùm ingrederetur quoddam castellum; ἀπαντάω; ‖ Quos vt vidit, ρ Ite,; ˢ dum irent.; *vt vidit quia mundatus est, regressus est; ‖ magnificans; ρ & ˢ sunt?; * est inuentus qui rediret & daret; ‖ nisi; ρ Surge, ˢ quia; *saluum fecit; ἐπερωτάω; ‖ Et ρ suos.; ˢ diem

καὶ ἐροῦσιν

* & ‖ nolite ire

Et dicent vobis, Ecce hîc, * aut ecce illic: ‖ ne abeatis,
καὶ ἐροῦσιν ὑμῖν, ἰδοὺ ὧδε, ἢ ἰδοὺ ἐκεῖ· μὴ ἀπέλθητε, 23
neque sectemini. Sicut enim fulgur coruscans
μηδὲ διώξητε. ὥσπερ γὰρ ἡ ἀστραπὴ ἡ ἀστράπτουσα 24

* ea quæ sunt

ρ ex ipsa qua sub cælo, in * eam qua sub cælo fulget, ita erit
ἐκ τῆς ὑπ᾽ οὐρανὸν εἰς τὴν ὑπ᾽ οὐρανὸν λάμπει, οὕτως ἔσται
filius hominis in die sua.
ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ ἡμέρᾳ αὐτοῦ.
Primùm autẽ oportet illum multa pati, & repro-
πρῶτον δὲ δεῖ αὐτὸν πολλὰ παθεῖν, καὶ ἀποδοκιμα- 25
bari à generatione hac. Et sicut factum est
σθῆναι ἀπὸ τῆς γενεᾶς ταύτης. καὶ καθὼς ἐγένετο 26
in diebus Noe, ita erit & in diebus
ἐν ταῖς ἡμέραις τοῦ Νῶε, οὕτως ἔσται καὶ ἐν ταῖς ἡμέραις τοῦ

‖ &

filij hominis. Edebant, ‖ bibebãt, vxores ducebãt,
υἱοῦ τοῦ ἀνθρώπου. ἤσθιον, ἔπινον, ἐγάμουν, 27

ρ & dabantur ad nuptias, * in diem qua

ρ nubebant, vsque * qua die intrauit Noe in arcam,
ἐξεγαμίζοντο, ἄχρι ἧς ἡμέρας εἰσῆλθε Νῶε εἰς τὴν κιβωτόν,
& venit diluuium, & perdidit omnes.
καὶ ἦλθεν ὁ κατακλυσμὸς, καὶ ἀπώλεσεν ἅπαντας.

* &

Similiter & sicut factum est in diebus Lot: edebant, * bibe-
ὁμοίως καὶ ὡς ἐγένετο ἐν ταῖς ἡμέραις Λώτ· ἤσθιον, ἔπι- 28
bant, emebant, vendebant, plantabant, * ædificabant.
νον, ἠγόραζον, ἐπώλουν, ἐφύτευον, ᾠκοδόμουν.
Qua autem die exiit Lot à Sodomis, pluit ignem
ᾗ δὲ ἡμέρᾳ ἐξῆλθε Λὼτ ἀπὸ Σοδόμων, ἔβρεξε πῦρ 29
& sulphur de cælo, & perdidit omnes.
καὶ θεῖον ἀπ᾽ οὐρανοῦ, καὶ ἀπώλεσεν ἅπαντας.

ρ reuelabitur.

Secundùm hæc erit qua die filius hominis ρ re-
κατὰ ταῦτα ἔσται ᾗ ἡμέρᾳ ὁ υἱὸς τοῦ ἀνθρώπου ἀπο- 30

* in tecto,

uelatur. In illa die, qui fuerit * super do-
καλύπτεται. ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὃς ἔσται ἐπὶ τοῦ δώμα- 31
mum, & vasa eius in domo, ne descendat tollere illa:
τος, καὶ τὰ σκεύη αὐτοῦ ἐν τῇ οἰκίᾳ, μὴ καταβάτω ἆραι αὐτά·
& qui in agro, similiter non redeat in qua retrò.
καὶ ὁ ἐν τῷ ἀγρῷ, ὁμοίως μὴ ἐπιστρεψάτω εἰς τὰ ὀπίσω.
Memores estote vxoris Lot.
μνημονεύετε τῆς γυναικὸς Λώτ. 32

* saluam facere,

Quicunque quæsierit animam suam * seruare, perdet
ὃς ἐὰν ζητήσῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει 33
illam: & quicunque perdiderit illam, viuificabit eam.
αὐτήν· καὶ ὃς ἐὰν ἀπολέσῃ αὐτήν, ζωογονήσει αὐτήν.

‖ in

Dico vobis, ‖ illa nocte erunt duo in lecto vno:
λέγω ὑμῖν, ταύτῃ τῇ νυκτὶ ἔσονται δύο ἐπὶ κλίνης μιᾶς· 34
vnus assumetur, & alter relinquetur.
ὁ εἷς παραληφθήσεται, καὶ ὁ ἕτερος ἀφεθήσεται.

ρ vnum

Duæ erunt molentes in ρ idem: vna assumetur,
δύο ἔσονται ἀλήθουσαι ἐπὶ τὸ αὐτό· μία παραληφθήσεται, 35
& altera relinquetur. Duo erunt in agro, vnus
καὶ ἡ ἑτέρα ἀφεθήσεται. δύο ἔσονται ἐν τῷ ἀγρῷ, ὁ εἷς 36
assumetur, & alter relinquetur.
παραληφθήσεται, καὶ ὁ ἕτερος ἀφεθήσεται.

* Qui

* Vbicunque fuerit

Et respondentes dicunt illi: Vbi Domine? * is autẽ dixit illis:
καὶ ἀποκριθέντες λέγουσιν αὐτῷ, ποῦ κύριε; ὁ δὲ εἶπεν αὐτοῖς, 37
* Vbi corpus, illuc congregabuntur & aquilæ.
ὅπου τὸ σῶμα, ἐκεῖ συναχθήσονται καὶ οἱ ἀετοί.

CAP. XVIII. ιη.

‖ ad illos, quoniã oportet

ρ deficere.

Dicebat autem & parabolam ‖ illis, ad oportere semper
Ἔλεγε δὲ καὶ παραβολὴν αὐτοῖς πρὸς τὸ δεῖν πάντοτε 1
orare, & non ρ segnescere. Dicens: Iudex quidã
προσεύχεσθαι, καὶ μὴ ἐκκακεῖν. λέγων, κριτής τις 2

* qui * timebat

erat in quadam ciuitate, * Deum non * timens, & hominem non
ἦν ἔν τινι πόλει, τὸν θεὸν μὴ φοβούμενος, καὶ ἄνθρωπον μὴ

‖ reuerebatur. ρ quædam

‖ reueritus. Vidua autẽ ρ erat in ciuitate illa, & ve-
ἐντρεπόμενος. χήρα δὲ ἦν ἐν τῇ πόλει ἐκείνῃ, καὶ ἤρ- 3
niebat ad eum, dicens: Vindica me de aduersario meo.
χετο πρὸς αὐτὸν, λέγουσα, ἐκδίκησόν με ἀπὸ τοῦ ἀντιδίκου μου.

* nolebat per multum * intra se: Et si ‖ nec

Et * non volebat ad tempus. post autem hæc dixit * in seipso:
καὶ οὐκ ἠθέλησεν ἐπὶ χρόνον. μετὰ δὲ ταῦτα εἶπεν ἐν ἑαυτῷ, 4
si & Deum non timeo, ‖ & hominem non reuereor:
εἰ καὶ τὸν θεὸν οὐ φοβοῦμαι, καὶ ἄνθρωπον οὐκ ἐντρέπομαι·

ρ Tamen quia molesta est mihi hæc vidua, * nouissimo

ρ Propter præbere mihi molestiam, viduam hanc, vindicabo
διά γε τὸ παρέχειν μοι κόπον τὴν χήραν ταύτην, ἐκδικήσω 5
illam, ne in * finem veniens suggillet me.
αὐτήν, ἵνα μὴ εἰς τέλος ἐρχομένη ὑπωπιάζῃ με.

* iniquitatis

Ait autem Dominus: Audite quid iudex * iniustitiæ dicit.
εἶπε δὲ ὁ κύριος, ἀκούσατε τί ὁ κριτὴς τῆς ἀδικίας λέγει. 6

‖ autem

At Deus ‖ non faciet vindictam electorum suorum
ὁ δὲ θεὸς οὐ μὴ ποιήσει τὴν ἐκδίκησιν τῶν ἐκλεκτῶν αὐτοῦ 7

ρ patientiam habebit in illis?

clamantium ad se die & nocte, & ρ longanimus
τῶν βοώντων πρὸς αὐτὸν ἡμέρας καὶ νυκτός, καὶ μακροθυμῶν
super illos? Etiam dico vobis, quia faciet vindictam
ἐπ᾽ αὐτοῖς; ναὶ λέγω ὑμῖν, ὅτι ποιήσει τὴν ἐκδίκησιν 8

* citò. * putas

illorum * in celeritate. veruntamen filius hominis veniens * num in-
αὐτῶν ἐν τάχει. πλὴν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐλθὼν ἆρα εὑ-
ueniet fidem in terra? Dixit autem ad quosdam
ρήσει τὴν πίστιν ἐπὶ τῆς γῆς; εἶπε δὲ πρός τινας τοὺς 9

‖ qui confidebant ρ tanquam * aspernabantur

‖ persuasos in seipsis, ρ quòd essent iusti, & * nihili facientes
πεποιθότας ἐφ᾽ ἑαυτοῖς, ὅτι εἰσὶ δίκαιοι, καὶ ἐξουθενοῦντας
cæteros, parabolam istam: Homines duo
τοὺς λοιποὺς, τὴν παραβολὴν ταύτην· ἄνθρωποι δύο 10

* vt orarent,

ascendebãt in templum * orare, vnus Pharisæus, & alter
ἀνέβησαν εἰς τὸ ἱερὸν προσεύξασθαι, ὁ εἷς Φαρισαῖος, καὶ ὁ ἕτερος

ἵστημι

publicanus. Pharisæus stans apud se hæc ora-
11 τελώνης. ὁ Φαρισαῖος † σταθεὶς πρὸς ἑαυτὸν ταῦτα προσηύ-
bat: Deus gratias ago tibi, quia non sum sicut cæteri
χετο, ὁ θεὸς εὐχαριστῶ σοι, ὅτι οὐκ εἰμὶ ὥσπερ οἱ λοιποὶ τῶν

‖ velut etiam

hominum, raptores, iniusti, adulteri, ‖ aut & vt hic publicanus.
ἀνθρώπων, ἅρπαγες, ἄδικοι, μοιχοὶ, ἢ καὶ ὡς οὗτος ὁ τελώνης.

ρ in § decimas do omnium * nolebat

Ieiuno bis ρ sabbato, § decimo omnia quæ possideo.
12 νηστεύω δὶς τοῦ σαββάτου, ἀποδεκατῶ πάντα ὅσα κτῶμαι.
Et publicanus a longè stans * non volebat nec ocu-
13 καὶ ὁ τελώνης μακρόθεν ἑστὼς οὐκ ἤθελεν οὐδὲ τοὺς ὀφθαλ-
los ad cælum leuare, sed percutiebat in pectus suum,
μοὺς εἰς τὸν οὐρανὸν ἐπᾶραι, ἀλλ᾽ ἔτυπτεν εἰς τὸ στῆθος αὐτοῦ,

ἱλάσκομαι

dicens: Deus, propitius esto mihi peccatori.
λέγων, ὁ θεὸς † ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ.
Dico vobis, descendit hic iustificatus in domum suam,
14 λέγω ὑμῖν, κατέβη οὗτος δεδικαιωμένος εἰς τὸν οἶκον αὐτοῦ,

‖ ab illo: ρ qui exaltat § & qui humiliat * ad illum

‖ quã enim ille: quia omnis ρ exaltans seipsum humiliabitur: § at
ἢ γὰρ ἐκεῖνος. ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται· ὁ δὲ
humilians seipsum exaltabitur. Afferebant autem * ei
15 ταπεινῶν ἑαυτὸν ὑψωθήσεται. προσέφερον δὲ αὐτῷ

‖ quod cùm viderent

& infantes, vt eos tangeret. ‖ Videntes autem discipuli in-
καὶ τὰ βρέφη, ἵνα αὐτῶν ἅπτηται. ἰδόντες δὲ οἱ μαθηταὶ ἐπε-

ρ autem conuocã

crepabant illos. At Iesus ρ aduocans illos,
16 τίμησαν αὐτοῖς. ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος αὐτὰ,

§ nolite vetare

dixit: Sinite pueros venire ad me, & § ne prohibete
εἶπεν, ἄφετε τὰ παιδία ἔρχεσθαι πρός με, καὶ μὴ κωλύετε
eos: nam talium est regnum Dei.
αὐτά· τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ.
Amen dico vobis, quicunque non acceperit regnum
17 ἀμὴν λέγω ὑμῖν, ὃς ἐὰν μὴ δέξηται τὴν βασιλείαν
Dei sicut puer, non intrabit in illud.
τοῦ θεοῦ ὡς παιδίον, οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν.
Et interrogauit quidam eum princeps, dicens: Magister bone,
18 καὶ ἐπηρώτησέ τις αὐτὸν ἄρχων, λέγων, διδάσκαλε ἀγαθὲ,
quid faciens vitam æternam possidebo? Dixit autem ei
19 τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω; εἶπε δὲ αὐτῷ ὁ

* nisi solus

Iesus: Quid me dicis bonum? nemo bonus * si non vnus Deus.
Ἰησοῦς, τί με λέγεις ἀγαθόν; οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς, ὁ θεός.

‖ Non occides, nõ furtum facies, nõ falsum testimonium dices:

Mandata nosti, ‖ Ne mœcheris, ne occidas, ne fu-
20 τὰς ἐντολὰς οἶδας, μὴ μοιχεύσῃς, μὴ φονεύσῃς, μὴ κλέ-
reris, ne falso testeris: honora patrem tuum & ma-
ψῃς, μὴ ψευδομαρτυρήσῃς· τίμα τὸν πατέρα σου καὶ τὴν μη-

ρ Qui

trem tuam. ρ Is autem ait: Hæc omnia custodiui à
21 τέρα σου. ὁ δὲ εἶπε, ταῦτα πάντα ἐφυλαξάμην ἐκ

§ Quo audito

iuuentute mea. § Audiens autem hæc Iesus, ait ei: Adhuc
22 νεότητός μου. ἀκούσας δὲ ταῦτα ὁ Ἰησοῦς, εἶπεν αὐτῷ, ἔτι
vnum tibi deest: omnia quæcunq; habes vende, & da paupe-
ἕν σοι λείπει· πάντα ὅσα ἔχεις πώλησον, καὶ διάδος πτω-
ribus, & habebis thesaurum in cælo, & veni sequere me.
χοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ, καὶ δεῦρο ἀκολούθει μοι.

* His ille auditis, contristatus est,

* Ille autem audiens hæc, pertristis factus est: erat enim diues
23 ὁ δὲ ἀκούσας ταῦτα, περίλυπος ἐγένετο· ἦν γὰρ πλούσιος
valde. Videns autem illum Iesus pertristem fa-
24 σφόδρα. ἰδὼν δὲ αὐτὸν ὁ Ἰησοῦς περίλυπον γενό-

‖ qui ρ habent

ctum, dixit: Quàm difficilè ‖ pecunias ρ habentes intrabunt
μενον, εἶπε, πῶς δυσκόλως οἱ τὰ χρήματα ἔχοντες εἰσελεύσονται
in regnum Dei! Facilius enim est ca-
25 εἰς τὴν βασιλείαν τοῦ θεοῦ· εὐκοπώτερον γάρ ἐστι κά-

‖ transire,

melum per foramen acus ‖ intrare, quàm diuitem in re-
μηλον διὰ τρυμαλιᾶς ῥαφίδος εἰσελθεῖν, ἢ πλούσιον εἰς τὴν βασι-

§ Et * qui audiebant,

gnum Dei intrare. § Dixerunt autem * audientes:
26 λείαν τοῦ θεοῦ εἰσελθεῖν. εἶπον δὲ οἱ ἀκούσαντες,

‖ saluus fieri? Ait illis: Quæ ρ sunt

Et quis potest ‖ seruari? Is autem ait: Impossibilia ρ
27 καὶ τίς δύναται σωθῆναι; ὁ δὲ εἶπε, τὰ ἀδύνατα
apud homines, possibilia sunt apud Deum. Ait autem
28 παρὰ ἀνθρώποις, δυνατά ἐστι παρὰ τῷ θεῷ. εἶπε δὲ ὁ
Petrus: Ecce nos dimisimus omnia, & secuti sumus te.
Πέτρος, ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα, καὶ ἠκολουθήσαμέν σοι.

§ Qui

§ Is autem dixit eis: Amen dico vobis, quod nemo est qui reliquit
29 ὁ δὲ εἶπεν αὐτοῖς, ἀμὴν λέγω ὑμῖν, ὅτι οὐδείς ἐστιν ὃς ἀφῆκεν
domum, aut parentes, aut fratres, aut vxorem, aut filios, propter
οἰκίαν, ἢ γονεῖς, ἢ ἀδελφοὺς, ἢ γυναῖκα, ἢ τέκνα, ἕνεκεν τῆς

* Et

regnum Dei: * Qui non recipiat multò plura in
30 βασιλείας τοῦ θεοῦ, ὃς οὐ μὴ ἀπολάβῃ πολλαπλασίονα ἐν

‖ futuro

tempore hoc, & in seculo ‖ veniente vitam æternam.
τῷ καιρῷ τούτῳ, καὶ ἐν τῷ αἰῶνι τῷ ἐρχομένῳ ζωὴν αἰώνιον.

ρ Assumpsit § Iesus * &

ρ Assumens autem § duodecim, * ait ad illos: Ecce ascen-
31 παραλαβὼν δὲ τοὺς δώδεκα, εἶπε πρὸς αὐτοὺς, ἰδοὺ ἀνα-

‖ quæ

dimus in Hierosolymam, & consummabuntur omnia ‖ scri-
βαίνομεν εἰς Ἱεροσόλυμα, καὶ τελεσθήσεται πάντα τὰ γεγραμ-

ρ sunt § de

pta ρ per Prophetas § filio hominis.
μένα διὰ τῶν προφητῶν, τῷ υἱῷ τοῦ ἀνθρώπου.

* flagellabitur, ἐμπαίζω

Tradetur enim gentibus, & illudetur, & * contu-
32 παραδοθήσεται γὰρ τοῖς ἔθνεσι, καὶ † ἐμπαιχθήσεται, καὶ ὑβρι-

‖ postquam flagellauerint,

melia afficietur, & conspuetur. Et ‖ flagellantes oc-
33 σθήσεται, καὶ ἐμπτυσθήσεται. καὶ μαστιγώσαντες ἀπο-
cident eum, & tertia die resurget.
κτενοῦσιν αὐτὸν, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται.
Et ipsi nihil horum intellexerunt: & erat verbum istud
34 καὶ αὐτοὶ οὐδὲν τούτων συνῆκαν, καὶ ἦν τὸ ῥῆμα τοῦτο

* intelligebant quæ dicebantur.
absconditum ab eis, & non *cognoscebant dicta.
κεκρυμμένον ἀπ᾽ αὐτῶν, καὶ οὐκ ἐγίνωσκον τὰ λεγόμενα.
|| cùm appropinquaret
Factum est autem || in appropinquare ipsum in Iericho, cæcus
ἐγένετο δὲ ἐν τῷ ἐγγίζειν αὐτὸν εἰς Ἱεριχὼ, τυφλός 35
quidā sedebat secus viam mendicans.
τις ἐκάθητο παρὰ τὴν ὁδὸν, προσαιτῶν.
℘ Et cùm audiret
℘ Audiens autem turbam prætereuntem, interrogabat quid esset hoc.
ἀκούσας δὲ ὄχλου διαπορευομένου, ἐπυνθάνετο τί εἴη τοῦτο. 36
° Dixerunt
° Nuntiauerunt autem ei, quòd Iesus Nazarenus transiret.
ἀπήγγειλαν δὲ αὐτῷ, ὅτι Ἰησοῦς ὁ Ναζωραῖος παρέρχεται. 37
Et clamauit, dicens: Iesu fili Dauid miserere mei.
καὶ ἐβόησε, λέγων, Ἰησοῦ υἱὲ Δαβίδ, ἐλέησόν με. 38
* qui præibant
Et *præeuntes increpabant eum vt taceret: ipse verò
καὶ οἱ προάγοντες ἐπετίμων αὐτῷ ἵνα σιωπήσῃ· αὐτὸς δὲ 39
multò magis clamabat, Fili Dauid, miserere mei.
πολλῷ μᾶλλον ἔκραζεν, υἱὲ Δαβίδ, ἐλέησόν με.
Stans autem Iesus iussit illum adduci ad se.
σταθεὶς δὲ ὁ Ἰησοῦς ἐκέλευσεν αὐτὸν ἀχθῆναι πρὸς αὐτόν. 40
|| Et cùm appropinquasset, ℘ At ° videam,
|| appropinquante autem eo, interrogauit illum, Dicens: Quid tibi
ἐγγίσαντος δὲ αὐτοῦ ἐπηρώτησεν αὐτὸν, λέγων, τί σοι 41
vis faciam? ℘ Ille autem dixit: Domine, vt ° respiciam.
θέλεις ποιήσω; ὁ δὲ εἶπε, κύριε, ἵνα ἀναβλέψω.
* saluum fecit
Et Iesus dixit illi: Respice: fides tua * seruauit te.
καὶ ὁ Ἰησοῦς εἶπεν αὐτῷ, ἀνάβλεψον· ἡ πίστις σου σέσωκέ σε. 42
|| vidit, ℘ magnificans
Et confestim || respexit, & sequebatur illum ℘ glorificans
καὶ παραχρῆμα ἀνέβλεψε, καὶ ἠκολούθει αὐτῷ δοξάζων τὸν 43
° plebs vt vidit
Deum. & omnis ° populus videns dedit laudem Deo.
θεόν. καὶ πᾶς ὁ λαὸς ἰδὼν ἔδωκεν αἶνον τῷ θεῷ.

CAP. XIX. ιθ'.

* perambulabat
Et ingressus * pertransibat Iericho.
Καὶ εἰσελθὼν διήρχετο τὴν Ἱεριχώ. 1
Et ecce vir nomine vocatus Zacchæus, & hic
καὶ ἰδοὺ ἀνὴρ ὀνόματι καλούμενος Ζακχαῖος, καὶ αὐτὸς 2
erat princeps publicanorū, & ipse erat diues. Et quærebat videre
ἦν ἀρχιτελώνης, καὶ οὗτος ἦν πλούσιος. καὶ ἐζήτει ἰδεῖν 3
Iesum quis esset, & non poterat præ turba, quia statura
τὸν Ἰησοῦν τίς ἐστι, καὶ οὐκ ἠδύνατο ἀπὸ τοῦ ὄχλου· ὅτι τῇ ἡλικίᾳ
|| arborem
pusillus erat. Et præcurrens coram, ascendit in || sy-
μικρὸς ἦν. καὶ προδραμὼν ἔμπροσθεν, ἀνέβη ἐπὶ συ- 4
℘ inde erat transiturus,
comorum, vt videret eum: quia ℘ illa futurus erat transire.
κομωραίαν, ἵνα ἴδῃ αὐτόν· ὅτι ἐκείνης ἤμελλε διέρχεσθαι.
° cùm venisset
Et ° vt venit ad locum, suspiciens Iesus vidit
καὶ ὡς ἦλθεν ἐπὶ τὸν τόπον, ἀναβλέψας ὁ Ἰησοῦς εἶδεν 5
illum, & dixit ad eum: Zacchæe, festinans descende:
αὐτὸν, καὶ εἶπε πρὸς αὐτὸν, Ζακχαῖε, σπεύσας κατάβηθι·
hodie enim in domo tua oportet me manere.
σήμερον γὰρ ἐν τῷ οἴκῳ σου δεῖ με μεῖναι.
Et festinans descendit, & excepit illum gaudens.
καὶ σπεύσας κατέβη, καὶ ὑπεδέξατο αὐτὸν χαίρων· 6
* cùm viderent
Et * videntes omnes murmurabant, dicentes, quod ad pecca-
καὶ ἰδόντες ἅπαντες διεγόγγυζον, λέγοντες, ὅτι παρὰ ἁμαρ- 7
|| diuertisset.
torem hominem || introiuit diuersari. Stans autem Zacchæus
τωλῷ ἀνδρὶ εἰσῆλθε καταλῦσαι. σταθεὶς δὲ Ζακχαῖος 8
℘ dimidium bonorum meorum,
dixit ad Dominum: Ecce ℘ dimidia substantiarum mearum, Domine,
εἶπε πρὸς τὸν κύριον, ἰδοὺ τὰ ἡμίση τῶν ὑπαρχόντων μου, κύριε,
do pauperibus; & si aliquem quid defraudaui, red-
δίδωμι τοῖς πτωχοῖς, καὶ εἴ τινός τι ἐσυκοφάντησα, ἀποδί-
do quadruplum. Ait autem ad eum Iesus: Quia ho-
δωμι τετραπλοῦν. εἶπε δὲ πρὸς αὐτὸν ὁ Ἰησοῦς, ὅτι σή- 9
die salus domui huic facta est, eo quòd & ipse filius
μερον σωτηρία τῷ οἴκῳ τούτῳ ἐγένετο, καθότι καὶ αὐτὸς υἱὸς
Abrahæ sit. Venit enim filius hominis quærere &
Ἀβραάμ ἐστιν. ἦλθε γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου ζητῆσαι καὶ 10
* saluum facere quod perierat.
° seruare perditum. Audientibus autem illis hæc,
σῶσαι τὸ ἀπολωλός. ἀκουόντων δὲ αὐτῶν ταῦτα, 11
* eo quòd esset prope
adiiciens dixit parabolam, * propter prope eum esse Hierusalem,
προσθεὶς εἶπε παραβολὴν, διὰ τὸ ἐγγὺς αὐτὸν εἶναι Ἱερουσαλήμ,
|| quia existimarent ℘ manifestaretur.
& || videri eis quòd confestim ℘ futurum esset regnum Dei
καὶ δοκεῖν αὐτοῖς ὅτι παραχρῆμα μέλλει ἡ βασιλεία τοῦ θεοῦ
° apparere: Dixit ergo: Homo quidam nobilis ab-
ἀναφαίνεσθαι. εἶπεν οὖν, ἄνθρωπός τις εὐγενὴς ἐπο- 12
iit in regionem longinquam accipere sibiipsi regnum, &
ρεύθη εἰς χώραν μακρὰν, λαβεῖν ἑαυτῷ βασιλείαν, καὶ
* Vocatis || seruis suis,
reuerti. * Vocans autem decem || seruos suos, de-
ὑποστρέψαι· καλέσας δὲ δέκα δούλους ἑαυτοῦ, ἔδω- 13
dit eis decem mnas, & ait ad illos: Negotiami-
κεν αὐτοῖς δέκα μνᾶς, καὶ εἶπε πρὸς αὐτούς, πραγματεύ-
℘ autem
ni dum venio. At ciues ℘ eius oderant eum,
σασθε ἕως ἔρχομαι. οἱ δὲ πολῖται αὐτοῦ ἐμίσουν αὐτὸν, 14
° Nolumus
& miserunt legationem post illum, dicentes: ° Non volumus
καὶ ἀπέστειλαν πρεσβείαν ὀπίσω αὐτοῦ, λέγοντες, οὐ θέλομεν
* vt rediret accepto regno, & iussit
hunc regnare super nos. Et factum est * in redire
τοῦτον βασιλεῦσαι ἐφ᾽ ἡμᾶς. καὶ ἐγένετο ἐν τῷ ἐπανελθεῖν 15
ipsum accipientem regnum, ait vocari sibi ser-
αὐτὸν λαβόντα τὴν βασιλείαν, εἶπε φωνηθῆναι αὐτῷ τοὺς δού-
|| pecuniam, ℘ quantum quisq:
uos has, quibus dedit || argentum, vt sciret ℘ quis quid negotia-
λους τούτους, οἷς ἔδωκε τὸ ἀργύριον, ἵνα γνῷ τίς τί διεπρα-
° Venit
tus esset. ° Adfuit autem primus, dicens: Domine,
γματεύσατο. παρεγένετο δὲ ὁ πρῶτος, λέγων, κύριε, 16
mna tua acquisiuit decem mnas.
ἡ μνᾶ σου προσειργάσατο δέκα μνᾶς.

Et ait illi: Euge bone serue, quia in modico fidelis
17 καὶ εἶπεν αὐτῷ, εὖ ἀγαθὲ δοῦλε· ὅτι ἐν ἐλαχίστῳ πιστὸς
fuisti, * esto potestatem habens super decem ciuitates.
* eris
ἐγένου, ἴσθι ἐξουσίαν ἔχων ἐπάνω δέκα πόλεων.
Et venit || secundus, dicens: Domine, mna tua fecit
|| alter,
18 καὶ ἦλθεν ὁ δεύτερος, λέγων, κύριε, ἡ μνᾶ σου ἐποίησε
quinque mnas. Ait autem & huic: Et tu esto super
19 πέντε μνᾶς. εἶπε δὲ καὶ τούτῳ, καὶ σὺ γίνου ἐπάνω
quinque ciuitates. Et alter venit, dicens: Domine, ecce
20 πέντε πόλεων. καὶ ἕτερος ἦλθε, λέγων, κύριε, ἰδοὺ ἡ
mna tua, quam habui repositam in sudario. Timui
21 μνᾶ σου, ἣν εἶχον ἀποκειμένην ἐν σουδαρίῳ. ἐφοβούμην
enim te: quia homo austerus es: tollis quod non posuisti, &
γάρ σε, ὅτι ἄνθρωπος αὐστηρὸς εἶ· αἴρεις ὃ οὐκ ἔθηκας, καὶ
metis quod non seminasti. Dicit autem ei: De ore
22 θερίζεις ὃ οὐκ ἔσπειρας. λέγει δὲ αὐτῷ, ἐκ τοῦ στόματός
tuo iudico te, ℘ scelerate serue: sciebas quòd ego homo austerus
℘ nequam
σου κρινῶ σε, πονηρὲ δοῦλε. ᾔδεις ὅτι ἐγὼ ἄνθρωπος αὐστηρός
sum, tollens quod non posui, & metens quod non seminaui.
εἰμι, αἴρων ὃ οὐκ ἔθηκα, καὶ θερίζων ὃ οὐκ ἔσπειρα.
Et quare non dedisti § argentum meum mensariis,
§ pecuniam meam ad mensam,
23 καὶ διατί οὐκ ἔδωκας τὸ ἀργύριόν μου τοῖς τραπεζίταις,
& veniens ego cum * vsura vtique exegissem || illud? Et
* vsuris || illam.
24 καὶ ἐλθὼν ἐγὼ σὺν τόκῳ ἂν ἔπραξα αὐτό; καὶ τοῖς
astantibus dixit: Auferte ab illo mnam, & date ℘
℘ illi qui
παρεστῶσιν εἶπεν, ἄρατε ἀπ᾽ αὐτοῦ τὴν μνᾶν, καὶ δότε τῷ τὰς
decem mnas § habenti. Et dixerunt ei: Domine, habet decem
§ habet.
25 δέκα μνᾶς ἔχοντι. καὶ εἶπον αὐτῷ, κύριε, ἔχει δέκα
mnas. Dico enim vobis, quia omni habenti dabitur*:
autem *& abundabit
26 μνᾶς. λέγω γὰρ ὑμῖν, ὅτι παντὶ τῷ ἔχοντι δοθήσεται·
ab || autem non § habente, & quod habet, auferetur ab eo.
|| eo qui § habet.
ἀπὸ δὲ τοῦ μὴ ἔχοντος, καὶ ὃ ἔχει, ἀρθήσεται ἀπ᾽ αὐτοῦ.
Veruntamen inimicos meos illos, * non volentes me
* qui noluerunt
27 πλὴν τοὺς ἐχθρούς μου ἐκείνους, τοὺς μὴ θελήσαντάς με
regnare super se, adducite huc, & || iugulate
|| interficite
βασιλεῦσαι ἐπ᾽ αὐτοὺς, ἀγάγετε ὧδε, καὶ κατασφάξατε
ante me. Et ℘ dicens hæc ibat ante
℘ his dictis, præcedebat
28 ἔμπροσθέν μου. καὶ εἰπὼν ταῦτα, ἐπορεύετο ἔμπροσθεν,
ascendens in Hierosolymam. Et factum est, cùm appropinquasset
29 ἀναβαίνων εἰς Ἱεροσόλυμα. καὶ ἐγένετο ὡς ἤγγισεν
ad Bethphage & Bethaniam, ad montem § vocatum Oliuarum,
§ qui vocatur Oliueti,
εἰς Βηθφαγὴ καὶ Βηθανίαν, πρὸς τὸ ὄρος τὸ καλούμενον ἐλαιῶν,
misit duos * discipulorum suorum, Dicens: Ite in
* discipulos suos,
30 ἀπέστειλε δύο τῶν μαθητῶν αὐτοῦ, εἰπὼν, ὑπάγετε εἰς τὴν
|| contra vicum: in ℘ quo, introeuntes inuenietis pullum § al-
|| castellum quod contra est. ℘ quod § asinæ * cui || soluite
κατέναντι κώμην· ἐν ᾗ, εἰσπορευόμενοι, εὑρήσετε πῶλον δε-
ligatum * super quem nemo vnquam hominum sedit: || soluentes
δεμένον, ἐφ᾽ ὃν οὐδεὶς πώποτε ἀνθρώπων ἐκάθισε· λύσαντες
illum ℘ adducite. Et si quis vos interrogauerit, Quare soluitis?
℘ &
31 αὐτὸν ἀγάγετε. καὶ ἐάν τις ὑμᾶς ἐρωτᾷ, διατί λύετε;
sic dicetis ei, Quia Dominus eius § opus habet.
§ operam desiderat.
οὕτως ἐρεῖτε αὐτῷ, ὅτι ὁ κύριος αὐτοῦ χρείαν ἔχει.
Abeuntes autem * missi ||, inuenerunt sicut dixit illis ℘.
Abierunt * qui || erant & ℘ stantem pullum.
32 ἀπελθόντες δὲ οἱ ἀπεσταλμένοι, εὗρον καθὼς εἶπεν αὐτοῖς.
Soluentibus autem illis pullum, dixerunt domini eius ad
33 λυόντων δὲ αὐτῶν τὸν πῶλον, εἶπον οἱ κύριοι αὐτοῦ πρὸς
illos: Quid soluitis pullum? ℘ Illi autem dixerunt: § Dominus
℘ At § Quia
34 αὐτούς, τί λύετε τὸν πῶλον; οἱ δὲ εἶπον, ὁ κύριος
* eius opus habet. Et duxerunt illum ad Iesum: & || iniicientes
* eum necessarium || iactantes
35 αὐτοῦ χρείαν ἔχει. καὶ ἤγαγον αὐτὸν πρὸς τὸν Ἰησοῦν· καὶ ἐπιρ-
cientes sua ipsorum vestimenta supra pullum, imposuerunt Iesum.
ρίψαντες ἑαυτῶν τὰ ἱμάτια ἐπὶ τὸν πῶλον, ἐπεβίβασαν τὸν Ἰησοῦν.
Eunte autem illo, substernebant vestimenta sua in
36 πορευομένου δὲ αὐτοῦ, † ὑπεστρώννυον τὰ ἱμάτια αὐτῶν ἐν
† ὑποστρώννυμι
via. ℘ Appropinquante autem eo iam ad descensum
℘ Et cùm appropinquaret
37 τῇ ὁδῷ. ἐγγίζοντος δὲ αὐτοῦ ἤδη πρὸς τῇ καταβάσει
montis § olearum, cœperunt * omnis turba discipulorum
§ Olineti, * omnes turbæ descendentium
τοῦ ὄρους τῶν ἐλαιῶν, ἤρξαντο ἅπαν τὸ πλῆθος τῶν μαθητῶν
gaudentes laudare Deum voce magna, || de omnibus quas viderant
|| super
χαίροντες αἰνεῖν τὸν θεὸν φωνῇ μεγάλῃ περὶ πασῶν ὧν εἶδον
virtutibus, Dicentes: Benedictus ℘ veniens rex
℘ qui venit
38 δυνάμεων, λέγοντες, εὐλογημένος ὁ ἐρχόμενος βασιλεὺς
in nomine Domini: pax in cælo, & gloria in excelsis.
ἐν ὀνόματι κυρίου· εἰρήνη ἐν οὐρανῷ, καὶ δόξα ἐν ὑψίστοις.
Et quidam Pharisæorum de § turba dixerunt ad illum:
§ turbis
39 καί τινες τῶν Φαρισαίων ἀπὸ τοῦ ὄχλου εἶπον πρὸς αὐτόν,
Magister, increpa discipulos tuos.
διδάσκαλε, ἐπιτίμησον τοῖς μαθηταῖς σου.
* Et respondens ait illis: Dico vobis, quia si hi
* Quibus ipse
40 καὶ ἀποκριθεὶς εἶπεν αὐτοῖς, λέγω ὑμῖν, ὅτι ἐὰν οὗτοι
tacuerint, lapides clamabunt.
σιωπήσωσιν, οἱ λίθοι κεκράξονται.
Et vt appropinquauit, videns ciuitatem, fleuit super illam,
41 καὶ ὡς ἤγγισεν, ἰδὼν τὴν πόλιν, ἔκλαυσεν ἐπ᾽ αὐτῇ,
Dicens: Quia si cognouisses & tu, & quidē in die tua hac,
42 λέγων, ὅτι εἰ ἔγνως καὶ σὺ, καί γε ἐν τῇ ἡμέρᾳ σου ταύτῃ,
quæ ad pacem || tuam: nunc autē abscōdita sunt ab oculis tuis.
|| tibi:
τὰ πρὸς εἰρήνην σου· νῦν δὲ ἐκρύβη ἀπὸ ὀφθαλμῶν σου.
Quia venient dies in te, & circundabunt inimici tui ℘ vallum tibi, & circumcingent te, & coangustabunt te vndique.
℘ vallo te, & circundabunt
43 ὅτι ἥξουσιν ἡμέραι ἐπὶ σὲ, καὶ περιβαλοῦσιν οἱ ἐχθροί σου χά-
ρακά σοι, καὶ περικυκλώσουσί σε, καὶ συνέξουσί σε πάντοθεν·

* ad terram prosternent ‖ qui sunt ἐδαφίζω

Et *solo æquabunt te, & filios tuos ‖ in te: & non
καὶ † ἐδαφιοῦσί σε, καὶ τὰ τέκνα σου ἐν σοί· καὶ οὐκ 44
relinquent in te lapidem super lapidem; eo quòd non cognoueris
ἀφήσουσιν ἐν σοὶ λίθον ἐπὶ λίθῳ· ἀνθ' ὧν οὐκ ἔγνως τὸν
tempus visitationis tuæ. Et ingressus in templum, cœpit
καιρὸν τῆς ἐπισκοπῆς σου. καὶ εἰσελθὼν εἰς τὸ ἱερὸν, ἤρξατο 45
eiicere vendentes in illo, & ementes,
ἐκβάλλειν τοὺς πωλοῦντας ἐν αὐτῷ, καὶ ἀγοράζοντας,

ρ Quia

Dicens illis: Scriptum est: ρ Domus mea domus orationis
λέγων αὐτοῖς, γέγραπται, ὁ οἶκός μου, οἶκος προσευχῆς 46
est: vos autem illam fecistis speluncam latronum.
ἐστίν· ὑμεῖς δὲ αὐτὸν ἐποιήσατε σπήλαιον λῃστῶν.

* quotidie * autem ‖ principes

Et erat docens *per diem in templo. at principes *sacerdotũ
καὶ ἦν διδάσκων τὸ καθ' ἡμέραν ἐν τῷ ἱερῷ. οἱ δὲ ἀρχιερεῖς 47
& Scribæ quærebant illum perdere, & ‖ primi plebis:
καὶ οἱ γραμματεῖς ἐζήτουν αὐτὸν ἀπολέσαι, καὶ οἱ πρῶτοι τοῦ λαοῦ·

ρ illi: κρέμαμαι

Et non inueniebant quid facerent ρ: populus enim omnis suspensus erat, illum audiens.
καὶ οὐχ εὕρισκον τὸ, τί ποιήσωσιν· ὁ λαὸς γὰρ ἅπας † ἐξεκρέματο αὐτοῦ ἀκούων. 48

CAP. XX. κ'.

Et factum est in vna dierum *illorum*, docente illo
Καὶ ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν ἐκείνων διδάσκοντος αὐτοῦ 1
populum in templo, & euangelizante, *superstiterunt principes
τὸν λαὸν ἐν τῷ ἱερῷ, καὶ εὐαγγελιζομένου, ἐπέστησαν οἱ ἀρ-
Sacerdotum & Scribæ cum senioribus:
χιερεῖς καὶ οἱ γραμματεῖς σὺν τοῖς πρεσβυτέροις,

* conuenerunt

Et aiunt ad illum, dicentes: Dic nobis in qua potestate
καὶ εἶπον πρὸς αὐτὸν, λέγοντες, εἰπὲ ἡμῖν ἐν ποίᾳ ἐξουσίᾳ 2
hæc facis, aut quis est *dans tibi potestatem hanc.
ταῦτα ποιεῖς, ἢ τίς ἐστιν ὁ δούς σοι τὴν ἐξουσίαν ταύτην.

* qui dedit ‖ Iesus,

Respondens autem ‖ dixit ad illos: Interrogabo vos & ego
ἀποκριθεὶς δὲ εἶπε πρὸς αὐτοὺς, ἐρωτήσω ὑμᾶς κἀγὼ 3
vnum verbum, ρ & dicite mihi: Baptismus Ioannis de
ἕνα λόγον, καὶ εἴπατέ μοι· τὸ βάπτισμα Ἰωάννου ἐξ 4
cælo erat, an ex hominibus? *Illi *autem* *conratiocinabantur
οὐρανοῦ ἦν, ἢ ἐξ ἀνθρώπων; οἱ δὲ συνελογίσαντο 5
apud seipsos, dicentes: Quia si dixerimus, De cælo; dicet, Quare ρ
πρὸς ἑαυτοὺς λέγοντες, ὅτι ἐὰν εἴπωμεν, ἐξ οὐρανοῦ, ἐρεῖ, διατί
non credidistis illi? Si autem dixerimus, Ex hominibus,
οὐκ ἐπιστεύσατε αὐτῷ; ἐὰν δὲ εἴπωμεν, ἐξ ἀνθρώπων, 6
‖ omnis populus lapidabit nos: ρ persuasus enim est Ioannem Prophetam esse.
πᾶς ὁ λαὸς καταλιθάσει ἡμᾶς. πεπεισμένος γάρ ἐστιν Ἰωάννην προφήτην εἶναι.
Et responderunt *non scire vnde*.
καὶ ἀπεκρίθησαν μὴ εἰδέναι πόθεν. 7

ρ respondete; *At * cogitabant intra; ρ ergo; ‖ plebs vniuersa; ρ certi sunt; * se nescire * esset.

Et Iesus ait illis: Neque ego dico vobis in qua potestate hæc facio.
καὶ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς, οὐδὲ ἐγὼ λέγω ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ. 8
Cœpit autem ad ‖ populum dicere
ἤρξατο δὲ πρὸς τὸν λαὸν λέγειν τὴν 9
parabolam hanc: Homo plantauit vineam, &
παραβολὴν ταύτην· ἄνθρωπος ἐφύτευσεν ἀμπελῶνα, καὶ
elocauit eam colonis, & ρ peregre fuit *tempora sufficientia.
ἐξέδοτο αὐτὸν γεωργοῖς, καὶ ἀπεδήμησε χρόνους ἱκανούς.

‖ plebem; ρ ipse * multis temporibus.

Et in tempore misit ad cultores seruum,
καὶ ἐν καιρῷ ἀπέστειλε πρὸς τοὺς γεωργοὺς δοῦλον, 10
vt de fructu vineæ darent illi: *at coloni cædentes eum, dimiserunt inanem.
ἵνα ἀπὸ τοῦ καρποῦ τοῦ ἀμπελῶνος δῶσιν αὐτῷ· οἱ δὲ γεωργοὶ δείραντες αὐτὸν, ἐξαπέστειλαν κενόν.

* qui cæsum

Et addidit mittere alterum seruum. illi autem ‖ & illum
καὶ προσέθετο πέμψαι ἕτερον δοῦλον. οἱ δὲ κἀκεῖνον 11
cædentes & *inhonorantes, dimiserunt inanem.
δείραντες καὶ ἀτιμάσαντες, ἐξαπέστειλαν κενόν.

‖ hunc quoque; *afficientes contumelia,

Et addidit mittere tertium: *illi autem & hunc vulnerantes eiecerunt.
καὶ προσέθετο πέμψαι τρίτον· οἱ δὲ καὶ τοῦτον τραυματίσαντες ἐξέβαλον. 12
Dixit autem dominus vineæ: Quid
εἶπε δὲ ὁ κύριος τοῦ ἀμπελῶνος, τί 13
faciam? mittam filium meum dilectum: forsitan ‖ hunc ρ videntes
ποιήσω; πέμψω τὸν υἱόν μου τὸν ἀγαπητόν· ἴσως τοῦτον ἰδόντες
verebuntur. *Videntes autem illum coloni, *ratiocinabantur
ἐντραπήσονται. ἰδόντες δὲ αὐτὸν οἱ γεωργοὶ, διελογίζοντο 14
ad seipsos, dicentes: Hic est hæres: venite occidamus illum, vt nostra fiat hæreditas.
πρὸς ἑαυτοὺς, λέγοντες, οὗτός ἐστιν ὁ κληρονόμος· δεῦτε ἀποκτείνωμεν αὐτὸν, ἵνα ἡμῶν γένηται ἡ κληρονομία.

* qui & illum; ‖ cùm ρ viderint, * Quem cùm vidissent * cogitauerunt intra; ‖ eiectum

Et ‖ eiicientes illum extra vineam, occiderunt.
καὶ ἐκβαλόντες αὐτὸν ἔξω τοῦ ἀμπελῶνος, ἀπέκτειναν. 15
quid ergo faciet illis dominus vineæ?
τί οὖν ποιήσει αὐτοῖς ὁ κύριος τοῦ ἀμπελῶνος;
Veniet & perdet colonos istos, & dabit
ἐλεύσεται καὶ ἀπολέσει τοὺς γεωργοὺς τούτους, καὶ δώσει τὸν 16
vineam aliis. ρ Audientes autem dixerunt*: Ne fiat.
ἀμπελῶνα ἄλλοις. ἀκούσαντες δὲ εἶπον, μὴ γένοιτο.

ρ Quo audito, *illi, Absit. *hoc quod ‖ est,

Ille autem aspiciens eos, ait: Quid ergo est *scriptum
ὁ δὲ ἐμβλέψας αὐτοῖς, εἶπε, τί οὖν ἐστι τὸ γεγραμμένον 17
‖ hoc, Lapidem quem reprobauerunt ædificantes, hic factus est in caput anguli?
τοῦτο, λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας;
Omnis ρ cadens super illum lapidem,
πᾶς ὁ πεσὼν ἐπ' ἐκεῖνον τὸν λίθον, 18
conquassabitur: super quem autem ceciderit, comminuet illum.
συνθλασθήσεται· ἐφ' ὃν δ' ἂν πέσῃ, λικμήσει αὐτόν.

ρ qui ceciderit

Et quærebant principes sacerdotum & Scribæ mittere
19 καὶ ἐζήτησαν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς ἐπιβαλεῖν
in illum manus *in* illa hora, & timuerunt populum:
ἐπ' αὐτὸν τὰς χεῖρας ἐν αὐτῇ τῇ ὥρᾳ, καὶ ἐφοβήθησαν τὸν λαόν·
cognouerũt enim quòd ad ipsos similitudinem hanc dixerit.
ἔγνωσαν γὰρ ὅτι πρὸς αὐτοὺς τὴν παραβολὴν ταύτην εἶπε.
Et obseruantes miserunt insidiatores, *simulantes
20 καὶ παρατηρήσαντες ἀπέστειλαν ἐγκαθέτους, ὑποκρινομένους
seipsos iustos esse, vt caperent *eius sermonem, ad tradendum illum principatui & potestati præsidis.
ἑαυτοὺς δικαίους εἶναι, ἵνα ἐπιλάβωνται αὐτοῦ λόγου, εἰς τὸ παραδοῦναι αὐτὸν τῇ ἀρχῇ καὶ τῇ ἐξουσίᾳ τοῦ ἡγεμόνος.

* qui simularent; *eum in sermone, & traderent

Et interrogauerunt eum, dicentes: Magister, scimus quia
21 καὶ ἐπηρώτησαν αὐτὸν, λέγοντες, διδάσκαλε, οἴδαμεν ὅτι
rectè dicis & doces, & non accipis ‖ faciem, sed
ὀρθῶς λέγεις καὶ διδάσκεις, καὶ οὐ λαμβάνεις πρόσωπον, ἀλλ'
in veritate viam Dei doces.
ἐπ' ἀληθείας τὴν ὁδὸν τοῦ θεοῦ διδάσκεις·

‖ personam,

Licet nobis Cæsari tributum dare, an non?
22 ἔξεστιν ἡμῖν Καίσαρι φόρον δοῦναι, ἢ οὔ;
Considerans autem illorum dolum, dixit ad eos:
23 κατανοήσας δὲ αὐτῶν τὴν πανουργίαν, εἶπε πρὸς αὐτοὺς,
Quid me tentatis? Ostendite mihi denarium: cuius
24 τί με πειράζετε; ἐπιδείξατέ μοι δηνάριον· τίνος
habet imaginem & inscriptionem? respondentes *autem* dixerunt, Cæsaris.
ἔχει εἰκόνα καὶ ἐπιγραφήν; ἀποκριθέντες δὲ εἶπον, Καίσαρος.
ρ Is *autem* ait illis: Reddite ergo quæ * Cæsaris, Cæsari; & quæ * Dei, Deo.
25 ὁ δὲ εἶπεν αὐτοῖς, ἀπόδοτε τοίνυν τὰ Καίσαρος Καίσαρι, καὶ τὰ τοῦ θεοῦ, τῷ θεῷ.

ρ Et *sunt

Et non potuerunt reprehendere eius verbum coram *populo:
26 καὶ οὐκ ἴσχυσαν ἐπιλαβέσθαι αὐτοῦ ῥήματος ἐναντίον τοῦ λαοῦ·
& mirati in responso eius, tacuerunt.
καὶ θαυμάσαντες ἐπὶ τῇ ἀποκρίσει αὐτοῦ, ἐσίγησαν.

* plebe:

‖ *Accedentes* autem quidam Sadducæorum, ρ *contradicentes*
27 προσελθόντες δέ τινες τῶν Σαδδουκαίων, οἱ ἀντιλέγοντες
resurrectionem *non* esse, *interrogauerunt eum, Dicentes: Magister,
28 ἀνάστασιν μὴ εἶναι, ἐπηρώτησαν αὐτὸν, λέγοντες, διδάσκαλε,
Moyses scripsit nobis, Si alicuius frater mortuus fuerit habẽs
Μωσῆς ἔγραψεν ἡμῖν, ἐάν τινος ἀδελφὸς ἀποθάνῃ ἔχων
vxorem, & hic sine liberis *moriatur, vt accipiat * frater eius
γυναῖκα, καὶ οὗτος ἄτεκνος ἀποθάνῃ, ἵνα λάβῃ ὁ ἀδελφὸς αὐτοῦ
vxorem, & suscitet semen fratri suo.
τὴν γυναῖκα, καὶ ἐξαναστήσῃ σπέρμα τῷ ἀδελφῷ αὐτοῦ.

‖ Accesserunt; ρ qui negant * &; *fuerit, * eam

Septem ergo fratres erant, & primus ‖ *accipiens* vxorem
29 ἑπτὰ οὖν ἀδελφοὶ ἦσαν, καὶ ὁ πρῶτος λαβὼν γυναῖκα,
ρ mortuus est sine filiis. Et accepit *secundus
30 ἀπέθανεν ἄτεκνος. καὶ ἔλαβεν ὁ δεύτερος τὴν
vxorem, & ipse mortuus est sine filio. Et tertius
31 γυναῖκα, καὶ οὗτος ἀπέθανεν ἄτεκνος. καὶ ὁ τρίτος
accepit illam. similiter *autem* & * septem ‖ non reliquerunt ρ *natos*,
ἔλαβεν αὐτήν· ὡσαύτως δὲ καὶ οἱ ἑπτὰ οὐ κατέλιπον τέκνα,
& mortui sunt. Nouissimè *autem* omnium mortua est & mulier.
32 καὶ ἀπέθανον. ὕστερον δὲ πάντων ἀπέθανε καὶ ἡ γυνή.

‖ accepit; ρ & *sequens illam; *omnes ‖ & ρ semen,

In ergo resurrectione, cuius eorum *fit vxor? *nam septem
33 ἐν τῇ οὖν ἀναστάσει, τίνος αὐτῶν γίνεται γυνή; οἱ γὰρ ἑπτὰ
habuerunt eam vxorem. Et *respondens* ait illis
34 ἔσχον αὐτὴν γυναῖκα. καὶ ἀποκριθεὶς εἶπεν αὐτοῖς
Iesus: Filij seculi huius nubunt & traduntur ad nuptias.
ὁ Ἰησοῦς, οἱ υἱοὶ τοῦ αἰῶνος τούτου γαμοῦσι καὶ ἐκγαμίσκονται·

* erit *siquidem

‖ *At digni habiti seculum illud contingere & resurrectionem* ex mortuis, neque nubent, neque ducent vxores.
35 οἱ δὲ καταξιωθέντες τοῦ αἰῶνος ἐκείνου τυχεῖν καὶ τῆς ἀναστάσεως τῆς ἐκ νεκρῶν, οὔτε γαμοῦσιν, οὔτε ἐκγαμίσκονται.

‖ Illi verò qui digni habebuntur seculo illo & resurrectione

Neque *enim* mori vltrà ρ *possunt*: æquales angelis enim sunt, &
36 οὔτε γὰρ ἀποθανεῖν ἔτι δύνανται· ἰσάγγελοι γάρ εἰσι· καὶ
filij sunt Dei, * resurrectionis filij *existentes*.
υἱοί εἰσι τοῦ θεοῦ, τῆς ἀναστάσεως υἱοὶ ὄντες.

ρ poterunt; *cùm sint

Quia verò resurgant mortui, & Moyses ostendit secus rubum, sicut dicit Dominum Deum Abraham, & Deum Isaac, &
37 ὅτι δὲ ἐγείρονται οἱ νεκροὶ, καὶ Μωσῆς † ἐμήνυσεν ἐπὶ τῆς βάτου, ὡς λέγει κύριον τὸν θεὸν Ἀβραὰμ, καὶ τὸν θεὸν Ἰσαὰκ, καὶ τὸν
Deum Iacob. Deus autem non est mortuorum, sed viuorum:
38 θεὸν Ἰακώβ. θεὸς δὲ οὐκ ἔστι νεκρῶν, ἀλλὰ ζώντων.
omnes enim ei viuunt. Respondentes autem quidam
39 πάντες γὰρ αὐτῷ ζῶσιν. ἀποκριθέντες δέ τινες τῶν
Scribarum, dixerunt*: Magister, ‖ *pulchrè* dixisti.
γραμματέων, εἶπον, διδάσκαλε, καλῶς εἶπας.

μηνύω; * ei: ‖ benè

ρ Non amplius *autem* audebant interrogare eum quicquam.
40 οὐκ ἔτι δὲ ἐτόλμων ἐπερωτᾷν αὐτὸν οὐδέν.

ρ Et

Dixit autem ad illos: Quomodo dicunt Christum filium Dauid
41 εἶπε δὲ πρὸς αὐτοὺς, πῶς λέγουσι τὸν χριστὸν υἱὸν Δαβὶδ
esse: Et ipse Dauid dicit in libro Psalmorum, Dixit Dominus Domino meo, Sede à dextris meis:
42 εἶναι· καὶ αὐτὸς Δαβὶδ λέγει ἐν βίβλῳ ψαλμῶν, εἶπεν ὁ κύριος τῷ κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου·
Donec ponam inimicos tuos scabellum pedum tuorum?
43 ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου;
Dauid ergo Dominum illum vocat: & quomodo filius eius est?
44 Δαβὶδ οὖν κύριον αὐτὸν καλεῖ· καὶ πῶς υἱὸς αὐτοῦ ἐστιν;
Audiente autem omni populo, dixit discipulis suis:
45 ἀκούοντος δὲ παντὸς τοῦ λαοῦ, εἶπε τοῖς μαθηταῖς αὐτοῦ,

Attendite à Scribis * volentibus am-
προσέχετε ἀπὸ τῶν γραμματέων τῶν θελόντων περι- 46
bulare in stolis, & ‖ amantibus salutationes in p foro,
πατεῖν ἐν στολαῖς, καὶ φιλούντων ἀσπασμοὺς ἐν ταῖς ἀγο-
ris, & primas cathedras in synagogis, & primos
ραῖς, καὶ πρωτοκαθεδρίας ἐν τοῖς συναγωγαῖς, καὶ πρωτο-
discubitus in * cœnis. Qui deuorant domos
κλισίας ἐν τοῖς δείπνοις. οἱ κατεσθίοντες τὰς οἰκίας 47
viduarum, * & specie longa precantur. hi ac-
τῶν χηρῶν, καὶ προφάσει μακρᾶ προσεύχονται· οὗτοι λή-
cipient maiorem damnationem.
ψονται περισσότερον κρίμα.

CAP. XXI. κά.

Respiciens autem vidit ‖ mittentes munera sua in
Ἀναβλέψας δὲ εἶδε τοὺς βάλλοντας τὰ δῶρα αὐτῶν εἰς 1
gazophylacium, diuites. Vidit autem & quandam
τὸ γαζοφυλάκιον πλουσίους. εἶδε δὲ καὶ τινα 2
viduam pauperculam mittentem p illuc duo minuta.
χήραν πενιχρὰν, βάλλουσαν ἐκεῖ δύο λεπτά·
Et dixit: Verè dico vobis, quia vidua pauper hæc
καὶ εἶπεν, ἀληθῶς λέγω ὑμῖν, ὅτι ἡ χήρα ἡ πτωχὴ αὕτη 3
plus ‖ omnibus misit. Omnes enim hi ex
πλεῖον πάντων ἔβαλον· ἅπαντες γὰρ οὗτοι ἐκ τοῦ 4
abundanti sibi miserunt in munera Dei: hæc autem
περισσεύοντος αὐτοῖς ἔβαλον εἰς τὰ δῶρα τοῦ θεοῦ· αὕτη δὲ
ex * postremitate sua omnem victum * quē habuit, misit.
ἐκ τῆς ὑστερήματος αὐτῆς ἅπαντα τὸν βίον ὃν εἶχεν ἔβαλε.
Et quibusdam dicentibus de templo, quòd lapidibus ‖ pulchris
καὶ τινων λεγόντων περὶ τοῦ ἱεροῦ, ὅτι λίθοις καλοῖς 5
& donis ornatum esset, dixit: Hæc quæ videtis,
καὶ ἀναθήμασι κεκόσμηται, εἶπε, ταῦτα ἃ θεωρεῖτε, 6
venient dies, in quibus non relinquetur lapis supra lapidem,
ἐλεύσονται ἡμέραι ἐν αἷς οὐκ ἀφεθήσεται λίθος ἐπὶ λίθον,
qui non destruatur. Interrogauerunt autem illum, di-
ὃς οὐ καταλυθήσεται. ἐπηρώτησαν δὲ αὐτὸν, λέ- 7
centes: Præceptor, quando igitur hæc erunt? & quod signum
γοντες, διδάσκαλε, πότε οὖν ταῦτα ἔσται; καὶ τί τὸ σημεῖον
εἰμὶ ἄξιος ἵνα λύσω αὐτοῦ τὸν ἱμάντα τοῦ ὑποδήματος.
Hæc in Bethania facta sunt trans Iordanem, vbi erat
ταῦτα ἐν βηθανίᾳ ἐγένετο πέραν τοῦ ἰορδάνου, ὅπου ἦν 28
ʼ Altera die vidit
Ioannes baptizans. ʼ Postridie conspicit Ioannes
ἰωάννης βαπτίζων. τῇ ἐπαύριον βλέπει ὁ ἰωάννης 29
Iesum venientem ad se, & ait: Ecce agnus
τὸν ἰησοῦν ἐρχόμενον πρὸς αὐτὸν, καὶ λέγει, ἴδε ὁ ἀμνὸς τοῦ
* ecce qui tollit peccata
Dei, *tollens peccatum mundi. Hic est
θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· οὗτός ἐστιν 30
de quo ego dixi, Post me venit vir, qui ante me
περὶ οὗ ἐγὼ εἶπον, ὀπίσω μου ἔρχεται ἀνὴρ, ὃς ἔμπροσθέν μου
‖ nesciebam
factus est: quia prior me erat. Et ego ‖ non sciebam
γέγονεν· ὅτι πρῶτός μου ἦν. κἀγὼ οὐκ ᾔδειν 31
ρ in ʼ ea
eum: sed vt manifestetur ρ Israel, propter ʼ hoc veni ego
αὐτὸν, ἀλλ᾽ ἵνα φανερωθῇ τῷ ἰσραὴλ, διὰ τοῦτο ἦλθον ἐγὼ
* testimonium perhibuit
in aqua baptizans. Et *testatus est Ioannes,
ἐν τῷ ὕδατι βαπτίζων. καὶ ἐμαρτύρησεν ἰωάννης, 32
θεάομαι
dicens: Quia vidi Spiritum descendentem quasi colum-
λέγων, ὅτι † τεθέαμαι τὸ πνεῦμα καταβαῖνον ὡσεὶ περιστε-
‖ nesciebam
bam de cælo, & mansit super eum. Et ego ‖ non
ρὰν ἐξ οὐρανοῦ, καὶ ἔμεινεν ἐπ᾽ αὐτόν. κἀγὼ οὐκ 33
ρ qui misit
sciebam eum, sed ρ mitteas me baptizare in aqua, ille
ᾔδειν αὐτὸν, ἀλλ᾽ ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός
mihi dixit: Super quem videris Spiritum descendentem, & manentem
μοι εἶπεν, ἐφ᾽ ὃν ἂν ἴδῃς τὸ πνεῦμα καταβαῖνον, καὶ μένον
ʼ qui baptizat
super eum, hic est ʼ baptizans in Spiritu sancto.
ἐπ᾽ αὐτὸν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν πνεύματι ἁγίῳ.
* testimonium perhibui
Et ego vidi, & *testatus sum quia hic est filius
κἀγὼ ἑώρακα, καὶ μεμαρτύρηκα ὅτι οὗτός ἐστιν ὁ υἱὸς 34
‖ Altera die
Dei. ‖ Postridie iterum stabat Ioannes, &
τοῦ θεοῦ. τῇ ἐπαύριον πάλιν εἱστήκει ὁ ἰωάννης, καὶ 35
ex discipulis eius duo. Et respiciens Iesum
ἐκ τῶν μαθητῶν αὐτοῦ δύο. καὶ ἐμβλέψας τῷ ἰησοῦ 36
ambulantem, dicit: Ecce agnus Dei.
περιπατοῦντι, λέγει, ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ.
Et audierunt eum duo discipuli loquentem, & se-
καὶ ἤκουσαν αὐτοῦ οἱ δύο μαθηταὶ λαλοῦντος, καὶ ἠκο- 37
cuti sunt Iesum. Conuersus autem Iesus, & vi-
λούθησαν τῷ ἰησοῦ. στραφεὶς δὲ ὁ ἰησοῦς, καὶ θεασά- 38
ρ se, ʼ Qui
dens eos sequentes ρ, dicit eis: Quid quæritis? ʼ illi
μενος αὐτοὺς ἀκολουθοῦντας, λέγει αὐτοῖς, τί ζητεῖτε; οἱ
autem dixerunt ei: Rabbi, (quod dicitur interpretatum, Magister)
δὲ εἶπον αὐτῷ, ῥαββί, ὃ λέγεται ἑρμηνευόμενον, διδάσκαλε,
* habitas?
vbi *manes? Dicit eis: Venite & videte. venerunt
ποῦ μένεις; λέγει αὐτοῖς, ἔρχεσθε καὶ ἴδετε. ἦλθον 39
& viderunt vbi maneret, & apud eum manserunt die il-
καὶ εἶδον ποῦ μένει, καὶ παρ᾽ αὐτῷ ἔμειναν τὴν ἡμέραν ἐκεί-
‖ autem
lo: hora erat quasi decima. Erat ‖ Andreas frater
νην. ὥρα ἦν ὡς δεκάτη. ἦν ἀνδρέας ὁ ἀδελφὸς 40
ρ qui audierant
Simonis Petri, vnus ex duobus ρ audientibus à Ioanne,
σίμωνος πέτρου, εἷς ἐκ τῶν δύο τῶν ἀκουσάντων παρὰ ἰωάννου,
ʼ secuti fuerant, * primùm
& ʼ secutis eum. Inuenit hic * primus
καὶ ἀκολουθησάντων αὐτῷ. εὑρίσκει οὗτος πρῶτος 41
‖ suum
fratrem ‖ proprium Simonem, & dicit ei: Inuenimus
τὸν ἀδελφὸν τὸν ἴδιον σίμωνα, καὶ λέγει αὐτῷ, εὑρήκαμεν τὸν
Messiam, quod est interpretatum, Christus. Et adduxit eum
μεσσίαν, ὅ ἐστι μεθερμηνευόμενον, ὁ χριστός. καὶ ἤγαγεν αὐτὸν 42
ad Iesum. Intuitus autem eum Iesus, dixit: Tu es Simon
πρὸς τὸν ἰησοῦν. ἐμβλέψας δὲ αὐτῷ ὁ ἰησοῦς, εἶπε, σὺ εἶ σίμων
filius Iona: tu vocaberis Cephas, quod interpretatur Petrus.
ὁ υἱὸς ἰωνᾶ· σὺ κληθήσῃ κηφᾶς, ὃ ἑρμηνεύεται πέτρος.
ρ In crastinum
ρ Postridie voluit exire in Galilæam, & inue-
τῇ ἐπαύριον ἠθέλησεν ἐξελθεῖν εἰς τὴν γαλιλαίαν, καὶ εὑρί- 43
nit Philippum, & dicit ei Iesus: Sequere me.
σκει φίλιππον, καὶ λέγει αὐτῷ ὁ ἰησοῦς, ἀκολούθει μοι.
Erat autem Philippus à Bethsaida, ex ciuitate An-
ἦν δὲ ὁ φίλιππος ἀπὸ βηθσαϊδὰ, ἐκ τῆς πόλεως ἀν- 44
dreæ & Petri. Inuenit Philippus Nathanael,
δρέου καὶ πέτρου. εὑρίσκει φίλιππος τὸν ναθαναὴλ, 45
& dicit ei: Quem scripsit Moyses in lege, & Prophetæ,
καὶ λέγει αὐτῷ, ὃν ἔγραψε μωσῆς ἐν τῷ νόμῳ, καὶ οἱ προφῆται,
inuenimus Iesum filium Ioseph illum à Nazareth.
εὑρήκαμεν ἰησοῦν τὸν υἱὸν τοῦ ἰωσὴφ τὸν ἀπὸ ναζαρέτ.
ʼ A * boni
Et dixit ei Nathanael: ʼ Ex Nazareth potest aliquid *bonum
καὶ εἶπεν αὐτῷ ναθαναὴλ, ἐκ ναζαρὲτ δύναταί τι ἀγαθὸν 46
esse? dicit ei Philippus: Veni, & vide. Vidit Iesus
εἶναι; λέγει αὐτῷ φίλιππος, ἔρχου, καὶ ἴδε. εἶδεν ὁ ἰησοῦς 47
Nathanael venientem ad se, & dicit de eo: Ecce ve-
τὸν ναθαναὴλ ἐρχόμενον πρὸς αὐτὸν, καὶ λέγει περὶ αὐτοῦ, ἴδε ἀλη-

rè Israelita, in quo dolus non est. Dicit ei Na-
48 θῶς ἰσραηλίτης, ἐν ᾧ δόλος οὐκ ἔστι. λέγει αὐτῷ να-
thanael: Vnde me nosti? Respondit Iesus, & ‖ dixit
‖ dicit
θαναὴλ, πόθεν με γινώσκεις; ἀπεκρίθη ὁ ἰησοῦς, καὶ εἶπεν
ei: ρ Ante te Philippum vocare existentem sub ficu,
ρ Prius quam te Philippus vocaret, cùm esses
αὐτῷ, πρὸ τοῦ σε φίλιππον φωνῆσαι ὄντα ὑπὸ τὴν συκῆν,
vidi te. Respondit Nathanael, & ait ei: Rabbi,
49 εἶδόν σε. ἀπεκρίθη ναθαναὴλ, καὶ λέγει αὐτῷ, ῥαββί,
tu es filius Dei: tu es rex Israel.
σὺ εἶ ὁ υἱὸς τοῦ θεοῦ· σὺ εἶ ὁ βασιλεὺς τοῦ ἰσραήλ.
Respondit Iesus, & dixit ei: Quia dixi tibi, Vidi te
50 ἀπεκρίθη ἰησοῦς, καὶ εἶπεν αὐτῷ, ὅτι εἶπόν σοι, εἶδόν σε
sub ficu, credis? ʼ maiora his videbis.
ʼ maius
ὑποκάτω τῆς συκῆς, πιστεύεις; μείζω τούτων ὄψει.
Et dicit ei: Amen, amen dico vobis, Amodo videbitis
51 καὶ λέγει αὐτῷ, ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἀπ᾽ ἄρτι ὄψεσθε
cælum apertum, & angelos Dei ascendentes
τὸν οὐρανὸν ἀνεῳγότα, καὶ τοὺς ἀγγέλους τοῦ θεοῦ ἀναβαίνοντας
& descendentes supra filium hominis.
καὶ καταβαίνοντας ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου.

CAP. II. β.

Et die tertia nuptiæ factæ sunt in Cana Gali-
1 Καὶ τῇ ἡμέρᾳ τῇ τρίτῃ γάμος ἐγένετο ἐν κανᾶ τῆς γαλι-
læa: & erat mater Iesu ibi. Vocatus est auté &
2 λαίας· καὶ ἦν ἡ μήτηρ τοῦ ἰησοῦ ἐκεῖ. ἐκλήθη δὲ καὶ ὁ
Iesus & discipuli eius ad nuptias. Et deficiente
3 ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὸν γάμον. καὶ ὑστερήσαντος
vino, dicit mater Iesu ad eum, Vinum non habent.
οἴνου, λέγει ἡ μήτηρ τοῦ ἰησοῦ πρὸς αὐτὸν, οἶνον οὐκ ἔχουσι.
* Dicit ei Iesus: Quid mihi & tibi ‖ mulier? nondum venit
* Et ‖ est
4 λέγει αὐτῇ ὁ ἰησοῦς, τί ἐμοὶ καὶ σοὶ γύναι; οὔπω ἥκει ἡ
hora mea. Dicit mater eius ministris: Quodcunque
5 ὥρα μου. λέγει ἡ μήτηρ αὐτοῦ τοῖς διακόνοις, ὅ, τι ἂν
dixerit vobis facite. Erant autem ibi hydriæ lapideæ sex
6 λέγῃ ὑμῖν ποιήσατε. ἦσαν δὲ ἐκεῖ ὑδρίαι λίθιναι ἓξ
positæ secundum purificationem Iudæorum, capientes singulæ me-
κείμεναι κατὰ τὸν καθαρισμὸν τῶν ἰουδαίων, χωροῦσαι ἀνὰ με-
tretas ρ duas vel ʼ tres. Dicit eis Iesus: Implete
ρ binas ʼ ternas
7 τρητὰς δύο ἢ τρεῖς. λέγει αὐτοῖς ὁ ἰησοῦς, γεμίσατε
hydrias aqua: & impleuerunt eas vsq; ad summum.
τὰς ὑδρίας ὕδατος· καὶ ἐγέμισαν αὐτὰς ἕως ἄνω.
Et dicit eis*: Haurite nunc, & ferte architri-
* Iesus
8 καὶ λέγει αὐτοῖς, ἀντλήσατε νῦν, καὶ φέρετε τῷ ἀρχιτρι-
clino: & tulerunt. Vt autem gustauit architriclinus
9 κλίνῳ. καὶ ἤνεγκαν. ὡς δὲ ἐγεύσατο ὁ ἀρχιτρίκλινος
aquam vinum factam, & non sciebat vnde esset: at mi-
τὸ ὕδωρ οἶνον γεγενημένον, καὶ οὐκ ᾔδει πόθεν ἐστίν, οἱ δὲ διά-
nistri ‖ sciebant ρ haurientes aquam: vocat sponsum
‖ autem ρ qui hauserant
κονοι ᾔδεισαν οἱ † ἠντληκότες τὸ ὕδωρ· φωνεῖ τὸν νυμφίον ὁ
architriclinus, Et dicit ei: Omnis homo pri-
ἀντλάω
10 ἀρχιτρίκλινος, καὶ λέγει αὐτῷ, πᾶς ἄνθρωπος πρῶ-
mùm bonum vinum ponit: & cùm inebriati fuerint, tunc ʼ minus:
ʼ id quod deterius est:
τον τὸν καλὸν οἶνον τίθησι, καὶ ὅταν † μεθυσθῶσι, τότε τὸν ἐλάσσω.
μεθύω
tu * seruasti bonum vinum vsque ‖ iam. Hoc fecit
* autem ‖ adhuc
11 σὺ τετήρηκας τὸν καλὸν οἶνον ἕως ἄρτι. ταύτην ἐποίησε
initium signorum Iesus in Cana Galilææ, &
τὴν ἀρχὴν τῶν σημείων ὁ ἰησοῦς ἐν κανᾶ τῆς γαλιλαίας, καὶ
manifestauit gloriam suam: & crediderunt in eum di-
ἐφανέρωσε τὴν δόξαν αὐτοῦ· καὶ ἐπίστευσαν εἰς αὐτὸν οἱ μα-
scipuli eius. Post hoc descendit in Capharnaum, ipse
12 θηταὶ αὐτοῦ. μετὰ τοῦτο κατέβη εἰς καπερναοὺμ, αὐτὸς
& mater eius, & fratres eius, & discipuli eius,
καὶ ἡ μήτηρ αὐτοῦ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ οἱ μαθηταὶ αὐτοῦ,
& ibi manserunt non multis diebus. Et propè erat
13 καὶ ἐκεῖ ἔμειναν οὐ πολλὰς ἡμέρας. καὶ ἐγγὺς ἦν τὸ
Pascha Iudæorum, & ascendit in Hierosolymam Iesus.
πάσχα τῶν ἰουδαίων, καὶ ἀνέβη εἰς ἱεροσόλυμα ὁ ἰησοῦς.
Et inuenit in templo vendentes boues, & oues,
14 καὶ εὗρεν ἐν τῷ ἱερῷ τοὺς πωλοῦντας βόας, καὶ πρόβατα,
& columbas, & numularios sedentes.
καὶ περιστερὰς, καὶ τοὺς κερματιστὰς καθημένους.
Et ρ faciens flagellum ʼ ex funiculis, omnes eiecit
ρ cùm fecisses quasi
15 καὶ ποιήσας φραγέλλιον ἐκ σχοινίων, πάντας ἐξέβαλεν
ʼ de templo, & oues * & boues, & numulariorum
ʼ de * quoque
ἐκ τοῦ ἱεροῦ, τά τε πρόβατα καὶ τοὺς βόας, καὶ τῶν κολλυβιστῶν
effudit ‖ monetam, & mensas subuertit.
‖ æs,
ἐξέχεε τὸ κέρμα, καὶ τὰς τραπέζας ἀνέστρεψε.
Et ρ columbas ʼ vendentibus dixit: Auferte ista hinc:
ρ his quæ ʼ vendebant
16 καὶ τοῖς τὰς περιστερὰς πωλοῦσιν εἶπεν, ἄρατε ταῦτα ἐντεῦθεν·
*ne facite domum Patris mei domum ‖ mercatus.
* & nolite facere ‖ negotiationis;
μὴ ποιεῖτε τὸν οἶκον τοῦ πατρός μου οἶκον ἐμπορίου.
Recordati sunt verò discipuli eius quia scriptum est,
17 ἐμνήσθησαν δὲ οἱ μαθηταὶ αὐτοῦ ὅτι γεγραμμένον ἐστίν, ὁ
Zelus domus tuæ comedit me. Responderunt ergo
18 ζῆλος τοῦ οἴκου σου κατέφαγέ με. ἀπεκρίθησαν οὖν
Iudæi, & dixerunt ei: Quod signum ostendis nobis, quia hæc
οἱ ἰουδαῖοι, καὶ εἶπον αὐτῷ, τί σημεῖον δεικνύεις ἡμῖν, ὅτι ταῦτα
facis? Respondit Iesus, & dixit eis: Soluite
19 ποιεῖς; ἀπεκρίθη ὁ ἰησοῦς, καὶ εἶπεν αὐτοῖς, λύσατε τὸν
templũ hoc, & in tribus diebus excitabo illud.
ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν.

Dixerunt ergo Iudæi: Quadraginta & sex annis ædifica-
εἶπον οὖν οἱ ἰουδαῖοι, τεσσαράκοντα καὶ ἓξ ἔτεσιν ᾠκοδο- 20
tum est templum hoc, & tu in tribus diebus excitabis illud?
μήθη ὁ ναὸς οὗτος, καὶ σὺ ἐν τρισὶν ἡμέραις ἐγερεῖς αὐτόν;
Ille autem dicebat de templo corporis sui.
ἐκεῖνος δὲ ἔλεγε περὶ τοῦ ναοῦ τοῦ σώματος αὐτοῦ. 21
Cùm ergo resurrexisset à mortuis, recordati sunt discipuli eius
ὅτε οὖν ἠγέρθη ἐκ νεκρῶν, ἐμνήσθησαν οἱ μαθηταὶ αὐτοῦ 22
quia hoc dicebat eis: & crediderunt scripturæ, & sermoni
ὅτι τοῦτο ἔλεγεν αὐτοῖς· καὶ ἐπίστευσαν τῇ γραφῇ, καὶ τῷ λόγῳ
quē dixit Iesus. Cùm autē esset in Hierosolymis
ᾧ εἶπεν ὁ ἰησοῦς. ὡς δὲ ἦν ἐν τοῖς ἱεροσολύμοις 23
* die — in Pascha in *festo, multi crediderunt in nomine
ἐν τῷ πάσχα ἐν τῇ ἑορτῇ, πολλοὶ ἐπίστευσαν εἰς τὸ ὄνομα
eius, videntes eius signa quæ faciebat.
αὐτοῦ, θεωροῦντες αὐτοῦ τὰ σημεῖα ἃ ἐποίει.
‖ eo quòd ipse nosset — Ipse autem Iesus non credebat semetipsum eis, ‖ propter
αὐτὸς δὲ ὁ ἰησοῦς οὐκ ἐπίστευεν ἑαυτὸν αὐτοῖς, διὰ τὸ 24
ᵖ erat ei, — ipsum nosse omnes. Et quia non opus ᵖ haberet,
αὐτὸν γινώσκειν πάντας· καὶ ὅτι οὐ χρείαν εἶχεν, 25
* testimonium perhiberet — vt quis *testaretur de homine: ipse enim sciebat quid
ἵνα τις μαρτυρήσῃ περὶ τοῦ ἀνθρώπου· αὐτὸς γὰρ ἐγίνωσκε τί
esset in homine.
ἦν ἐν τῷ ἀνθρώπῳ.

CAP. III. γ'.

* nomine, — Erat autem homo ex Pharisæis, Nicodemus *nomen
Ἦν δὲ ἄνθρωπος ἐκ τῶν φαρισαίων, νικόδημος ὄνομα 1
ei, princeps Iudæorum. Hic venit ad Iesum
αὐτῷ, ἄρχων τῶν ἰουδαίων. οὗτος ἦλθε πρὸς τὸν ἰησοῦν 2
nocte, & dixit ei: Rabbi, scimus quia à Deo venisti
νυκτὸς, καὶ εἶπεν αὐτῷ, ῥαββὶ οἴδαμεν ὅτι ἀπὸ θεοῦ ἐλήλυθας
Magister: nemo enim hæc signa potest facere quæ
διδάσκαλος· οὐδεὶς γὰρ ταῦτα τὰ σημεῖα δύναται ποιεῖν, ἃ
tu facis, ‖ si non fuerit Deus cum eo. Respondit Ie-
σὺ ποιεῖς, ἐὰν μὴ ᾖ ὁ θεὸς μετ' αὐτοῦ. ἀπεκρίθη ὁ ἰη- 3
‖ nisi — sus, & dixit ei: Amen amen dico tibi, ‖ si non quis natus
σοῦς, καὶ εἶπεν αὐτῷ, ἀμὴν ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννη-
ᵖ denuo, — fuerit ᵖ desursum, non potest videre regnum Dei.
θῇ ἄνωθεν, οὐ δύναται ἰδεῖν τὴν βασιλείαν τοῦ θεοῦ.
Dicit ad eum Nicodemus: Quomodo potest homo
λέγει πρὸς αὐτὸν ὁ νικόδημος, πῶς δύναται ἄνθρωπος 4
* cùm sit * nunquid — renasci *senex existēs? *num potest in ventrem matris
γεννηθῆναι γέρων ὤν; μὴ δύναται εἰς τὴν κοιλίαν τῆς μητρὸς
‖ iteratò — suæ ‖ secundo introire, & renasci? Respondit
αὐτοῦ δεύτερον εἰσελθεῖν, καὶ γεννηθῆναι; ἀπεκρίθη 5
ᵖ nisi *renatus — Iesus: Amen amen dico tibi, ᵖ si non quis *natus fuerit ex aqua
ὁ ἰησοῦς, ἀμὴν ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος
& spiritu, non potest introire in regnum Dei.
καὶ πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ.
* Quod est — *Natum ex carne, caro est: & *natum
τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς, σάρξ ἐστι· καὶ τὸ γεγεννημένον 6
ex spiritu, spiritus est. Non mireris quia
ἐκ τοῦ πνεύματος, πνεῦμά ἐστι. μὴ θαυμάσῃς ὅτι 7
‖ denuo. — dixi tibi, Oportet vos nasci ‖ desuper.
εἶπόν σοι, δεῖ ὑμᾶς γεννηθῆναι ἄνωθεν.
Spiritus vbi vult spirat, & vocem eius audis,
τὸ πνεῦμα ὅπου θέλει πνεῖ, καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις, 8
ᵖ nescis *aut — sed ᵖ non nosti vnde veniat, *& quò vadat: sic est omnis
ἀλλ' οὐκ οἶδας πόθεν ἔρχεται, καὶ ποῦ ὑπάγει· οὕτως ἐστὶ πᾶς
* qui est — *natus ex spiritu. Respondit Nicode-
ὁ γεγεννημένος ἐκ τοῦ πνεύματος. ἀπεκρίθη νικόδη- 9
mus, & dixit ei: Quomodo possunt hæc fieri?
μος, καὶ εἶπεν αὐτῷ, πῶς δύναται ταῦτα γενέσθαι;
Respondit Iesus, & dixit ei: Tu es Magister
ἀπεκρίθη ὁ ἰησοῦς, καὶ εἶπεν αὐτῷ, σὺ εἶ ὁ διδάσκαλος τοῦ 10
‖ in ᵖ ignoras? — ‖ Israel, & hæc ᵖ non nostis? Amen amen dico
ἰσραὴλ, καὶ ταῦτα οὐ γινώσκεις; ἀμὴν ἀμὴν λέγω 11
tibi, quia quod scimus loquimur, & quod vidimus testamur,
σοι, ὅτι ὃ οἴδαμεν λαλοῦμεν, καὶ ὃ ἑωράκαμεν μαρτυροῦμεν,
& testimonium nostrum non accipitis. Si terrena
καὶ τὴν μαρτυρίαν ἡμῶν οὐ λαμβάνετε. εἰ τὰ ἐπίγεια 12
dixi vobis, & non creditis, quomodo si dixero vobis cæ-
εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε, πῶς ἐὰν εἴπω ὑμῖν τὰ ἐπου-
lestia, credetis? Et nemo ascendit in cælum,
ράνια, πιστεύσετε; καὶ οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, 13
*nisi qui descendit de * qui est — *si non ille ex cælo descendens, filius hominis *existens in
εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ὁ υἱὸς τοῦ ἀνθρώπου ὁ ὢν ἐν
cælo. Et sicut Moyses exaltauit serpentēm in
τῷ οὐρανῷ. καὶ καθὼς μωσῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ 14
deserto, ita exaltari oportet filium hominis: Vt omnis
ἐρήμῳ, οὕτως ὑψωθῆναι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου· ἵνα πᾶς 15
‖ qui credit — ‖ credens in ipsum non pereat, sed habeat vitam æternam.
ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον.
Sic enim dilexit Deus mundum, vt filium suum illum vni-
οὕτω γὰρ ἠγάπησεν ὁ θεὸς τὸν κόσμον, ὥστε τὸν υἱὸν αὐτοῦ τὸν μονο- 16
genitum daret, vt omnis ‖ credens in eum non pereat, sed
γενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ'
habeat vitam æternam. Non enim misit Deus filium
ἔχῃ ζωὴν αἰώνιον. οὐ γὰρ ἀπέστειλεν ὁ θεὸς τὸν υἱὸν 17
suum in mundum, vt iudicet mundum: sed vt saluetur
αὐτοῦ εἰς τὸν κόσμον, ἵνα κρίνῃ τὸν κόσμον· ἀλλ' ἵνα σωθῇ ὁ

mundus per ipsum. *Credens in eum, non iudicatur: — * Qui credit
18 κόσμος δι' αὐτοῦ. ὁ πιστεύων εἰς αὐτὸν, οὐ κρίνεται.
qui autē non *credens, iam iudicatus est, quia non credidit in — *credit.
ὁ δὲ μὴ πιστεύων, ἤδη κέκριται· ὅτι μὴ πεπίστευκεν εἰς τὸ
nomine vnigeniti filij Dei. Hoc autem est
19 ὄνομα τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ. αὕτη δέ ἐστιν ἡ
iudicium: quia lux venit in mundum, & dilexerunt ho-
κρίσις, ὅτι τὸ φῶς ἐλήλυθεν εἰς τὸν κόσμον, καὶ ἠγάπησαν οἱ ἄν-
mines magis tenebras quàm lucem: erant enim mala eorum
θρωποι μᾶλλον τὸ σκότος, ἢ τὸ φῶς· ἦν γὰρ πονηρὰ αὐτῶν
opera. Omnis enim ‖ male agens, odit lucem, — ‖ qui malè agit,
20 τὰ ἔργα. πᾶς γὰρ ὁ φαῦλα πράσσων, μισεῖ τὸ φῶς,
& non venit ad lucem, vt non arguantur opera eius.
καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς, ἵνα μὴ ἐλεγχθῇ τὰ ἔργα αὐτοῦ.
ᵖ At faciens veritatem, venit ad lucem, vt manifesten- — ᵖ Qui autem facit
21 ὁ δὲ ποιῶν τὴν ἀλήθειαν, ἔρχεται πρὸς τὸ φῶς, ἵνα φανερω-
tur eius opera; quia in Deo sunt facta.
θῇ αὐτοῦ τὰ ἔργα· ὅτι ἐν θεῷ ἐστιν εἰργασμένα.
Post hæc venit Iesus & discipuli eius in Iu-
22 μετὰ ταῦτα ἦλθεν ὁ ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὴν ἰου-
dæam terram, & illic morabatur cum eis, & baptizabat.
δαίαν γῆν, καὶ ἐκεῖ διέτριβε μετ' αὐτῶν, καὶ ἐβάπτιζεν.
Erat autē & Ioannes baptizans in Ænon iuxta Salim, quia
23 ἦν δὲ καὶ ἰωάννης βαπτίζων ἐν αἰνὼν ἐγγὺς τοῦ σαλείμ, ὅτι
aquæ multæ erant illic: & veniebant, & baptizabantur.
ὕδατα πολλὰ ἦν ἐκεῖ· καὶ παρεγίνοντο, καὶ ἐβαπτίζοντο.
Nondum enim *erat missus in carcerem Ioannes. — * fuerat
24 οὔπω γὰρ ἦν βεβλημένος εἰς τὴν φυλακὴν ὁ ἰωάννης.
Facta est *ergo quæstio ex discipulis Ioannis cum Iudæis — *autem
25 ἐγένετο οὖν ζήτησις ἐκ τῶν μαθητῶν ἰωάννου μετὰ ἰουδαίων
de purificatione. Et venerunt ad Ioannem, & dixerūt
26 περὶ καθαρισμοῦ. καὶ ἦλθον πρὸς τὸν ἰωάννην, καὶ εἶπον
ei: Rabbi, qui erat tecum trans Iordanem, cui tu ‖ testa- — ‖ testimonium perhibuisti,
αὐτῷ, ῥαββὶ, ὃς ἦν μετὰ σοῦ πέραν τοῦ ἰορδάνου, ᾧ σὺ μεμαρτύ-
tus es, ecce hic baptizat, & omnes veniunt ad eum.
ρηκας, ἴδε οὗτος βαπτίζει, καὶ πάντες ἔρχονται πρὸς αὐτόν.
Respondit Ioannes, & dixit: Non potest homo accipere
27 ἀπεκρίθη ἰωάννης καὶ εἶπεν, οὐ δύναται ἄνθρωπος λαμβάνειν
ᵖ nihil, si non fuerit datum ei de cælo. — ᵖ quicquam, nisi
οὐδὲν, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ οὐρανοῦ.
Ipsi vos mihi *testamini, quòd dixerim, Non sum ego Chri- — * testimonium perhibetis,
28 αὐτοὶ ὑμεῖς μοι μαρτυρεῖτε ὅτι εἶπον, οὐκ εἰμὶ ἐγὼ ὁ χρι-
stus, sed quia missus sum ante illum.
στὸς, ἀλλ' ὅτι ἀπεσταλμένος εἰμὶ ἔμπροσθεν ἐκείνου.
*Habens sponsam, sponsus est: at amicus ‖ sponsi — *Qui habet ‖ autem
29 ὁ ἔχων τὴν νύμφην, νυμφίος ἐστίν· ὁ δὲ φίλος τοῦ νυμφίου
ᵖ stans & audiens eum, gaudio gaudet propter vocem — ᵖ qui stat, & audit
ὁ ἑστηκὼς καὶ ἀκούων αὐτοῦ, χαρᾷ χαίρει διὰ τὴν φωνὴν τοῦ
sponsi. hoc ergo gaudium meum impletum est. Illum oportet
30 νυμφίου· αὕτη οὖν ἡ χαρὰ ἡ ἐμὴ πεπλήρωται. ἐκεῖνον δεῖ
crescere, me autem minui. *Supernè veniens, — * qui desursum venit,
31 αὐξάνειν, ἐμὲ δὲ ἐλαττοῦσθαι. ὁ ἄνωθεν ἐρχόμενος,
super omnes est: *existens de terra, de terra est, & de terra — * qui est
ἐπάνω πάντων ἐστί. ὁ ὢν ἐκ τῆς γῆς, ἐκ τῆς γῆς ἐστι, καὶ ἐκ τῆς γῆς
loquitur: ‖ de cælo ᵖ veniens, super omnes est. — ‖ qui ᵖ venit,
λαλεῖ. ὁ ἐκ τοῦ οὐρανοῦ ἐρχόμενος, ἐπάνω πάντων ἐστί·
Et quod vidit & audiuit, hoc testatur, & testimonium
32 καὶ ὃ ἑώρακε καὶ ἤκουσε, τοῦτο μαρτυρεῖ, καὶ τὴν μαρτυρίαν
eius nemo accipit. *Accipiens eius testimonium, — * qui accepit
33 αὐτοῦ οὐδεὶς λαμβάνει. ὁ λαβὼν αὐτοῦ τὴν μαρτυρίαν,
signauit quia Deus verax est. Quem enim misit
34 ἐσφράγισεν ὅτι ὁ θεὸς ἀληθής ἐστιν. ὃν γὰρ ἀπέστειλεν
Deus, verba Dei loquitur: non enim *ex mensura dat — *ad mensuram
ὁ θεὸς, τὰ ῥήματα τοῦ θεοῦ λαλεῖ· οὐ γὰρ ἐκ μέτρου δίδωσιν ὁ
Deus spiritum. Pater diligit filium, & omnia
35 θεὸς τὸ πνεῦμα. ὁ πατὴρ ἀγαπᾷ τὸν υἱὸν, καὶ πάντα
dedit in manu eius. ‖ Credens in filium, habet — ‖ Qui credit
36 δέδωκεν ἐν τῇ χειρὶ αὐτοῦ. ὁ πιστεύων εἰς τὸν υἱὸν, ἔχει
vitam æternam: ᵖ at non persuasibilis filio, non videbit vitam, — ᵖ qui autem incredulus est
ζωὴν αἰώνιον· ὁ δὲ ἀπειθῶν τῷ υἱῷ, οὐκ ὄψεται τὴν ζωὴν,
sed ira Dei manet super ipsum.
ἀλλ' ἡ ὀργὴ τοῦ θεοῦ μένει ἐπ' αὐτόν.

CAP. IIII. δ'.

Vt ergo cognouit *Dominus quia audierunt Pharisæi quòd Ie- — * Iesus,
1 Ὡς οὖν ἔγνω ὁ κύριος ὅτι ἤκουσαν οἱ φαρισαῖοι ὅτι ἰη-
sus plures discipulos facit & baptizat quàm Ioannes:
σοῦς πλείονας μαθητὰς ποιεῖ καὶ βαπτίζει ἢ ἰωάννης·
(Quanquam Iesus ipse non baptizaret, sed discipuli eius.)
2 καίτοιγε ἰησοῦς αὐτὸς οὐκ ἐβάπτιζεν, ἀλλ' οἱ μαθηταὶ αὐτοῦ.
Reliquit Iudæam, & abiit iterum in Galilæam.
3 ἀφῆκε τὴν ἰουδαίαν, καὶ ἀπῆλθε πάλιν εἰς τὴν γαλιλαίαν.
Oportebat autem eum transire per Samariam.
4 ἔδει δὲ αὐτὸν διέρχεσθαι διὰ τῆς σαμαρείας.
Venit ergo in ciuitatem Samariæ, *dictam Sichar, — *quæ dicitur
5 ἔρχεται οὖν εἰς πόλιν τῆς σαμαρείας, λεγομένην συχάρ,
iuxta prædium quod dedit Iacob Ioseph filio suo.
πλησίον τοῦ χωρίου ὃ ἔδωκεν ἰακὼβ ἰωσὴφ τῷ υἱῷ αὐτοῦ.
Erat autem ibi fons Iacob: ergo ‖ Iesus fatigatus ex
6 ἦν δὲ ἐκεῖ πηγὴ τοῦ ἰακώβ. ὁ οὖν ἰησοῦς κεκοπιακὼς ἐκ τῆς
itinere, sedebat sic supra fontem: hora ‖ erat quasi sexta. — ‖ autem
ὁδοιπορίας, ἐκαθέζετο οὕτως ἐπὶ τῇ πηγῇ· ὥρα ἦν ὡσεὶ ἕκτη.

ἔρχεται

Venit mulier de Samaria haurire aquam, dicit
ἔρχεται γυνὴ ἐκ τῆς σαμαρείας ἀντλῆσαι ὕδωρ. λέγει
ei Iesus: Da mihi bibere. Nam discipuli * eius
αὐτῇ ἰησοῦς, δός μοι πιεῖν. οἱ γὰρ μαθηταὶ αὐτοῦ 7
* enim
abierant in ciuitatem, vt cibos emerent.
† ἀπεληλύθεισαν εἰς τὴν πόλιν, ἵνα τροφὰς ἀγοράσωσι. 8
ἀπέρχομαι
Dicit ergo ei mulier illa Samaritana, Quomodo tu Iudæus
λέγει οὖν αὐτῷ ἡ γυνὴ ἡ σαμαρεῖτις, πῶς σὺ ἰουδαῖος 9
‖existens à me bibere poscis ᵖexistente muliere Samaritana? non
ὢν παρ' ἐμοῦ πιεῖν αἰτεῖς οὔσης γυναικὸς σαμαρείτιδος; οὐ
‖cùm sis ᵖ quæ sum mulier
enim coutuntur Iudæi Samaritanis. Respondit
γὰρ συγχρῶνται ἰουδαῖοι σαμαρείταις. ἀπεκρίθη 10
Iesus, & dixit ei: Si scires donum Dei, & quis
ἰησοῦς, καὶ εἶπεν αὐτῇ, εἰ ᾔδεις τὴν δωρεὰν τοῦ θεοῦ, καὶ τίς
est *dicens tibi, Da mihi bibere, tu *vtique petisses ‖illum, & de-
ἐστιν ὁ λέγων σοι, δός μοι πιεῖν, σὺ ἂν ᾔτησας αὐτόν, καὶ ἔδω-
*qui dicit ‖forsitan ‖ab eo,
disset vtique tibi aquam viuam. Dicit ei mulier: Domine, neque
κεν ἄν σοι ὕδωρ ζῶν. λέγει αὐτῷ ἡ γυνή, κύριε, οὔτε 11
ᵖhaustorium habes, & puteus est *profundus: vnde ergo habes
ἄντλημα ἔχεις, καὶ τὸ φρέαρ ἐστὶ βαθύ· πόθεν οὖν ἔχεις τὸ
ᵖin quo haurias *altus:
aquam viuam? *Num tu maior es patre nostro Iacob,
ὕδωρ τὸ ζῶν; μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν ἰακώβ, 12
*Nunquid
qui dedit nobis puteum, & ipse ex eo bibit, & filij eius,
ὃς ἔδωκεν ἡμῖν τὸ φρέαρ, καὶ αὐτὸς ἐξ αὐτοῦ ἔπιε, καὶ οἱ υἱοὶ αὐτοῦ,
& pecora eius? Respondit Iesus, & dixit
καὶ τὰ θρέμματα αὐτοῦ; ἀπεκρίθη ὁ ἰησοῦς, καὶ εἶπεν 13
ei: Omnis ‖bibens ex aqua hac, sitiet iterum.
αὐτῇ, πᾶς ὁ πίνων ἐκ τοῦ ὕδατος τούτου, διψήσει πάλιν.
‖qui bibit
Qui autem biberit ex aqua quam *ego dabo ei, non si-
ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ δι- 14
* ego
tiet in æternum, sed aqua quam ᵖdabo ei, fiet in
ψήσῃ εἰς τὸν αἰῶνα, ἀλλὰ τὸ ὕδωρ ὃ δώσω αὐτῷ, γενήσεται ἐν
eo fons aquæ salientis in vitam æternam,
αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον.
Dicit ad eum mulier: Domine, da mihi hanc aquam, vt
λέγει πρὸς αὐτὸν ἡ γυνή, κύριε, δός μοι τοῦτο τὸ ὕδωρ, ἵνα 15
non sitiam, neque veniam huc haurire. Dicit ei
μὴ διψῶ, μηδὲ ἔρχωμαι ἐνθάδε ἀντλεῖν. λέγει αὐτῇ 16
Iesus: Vade, voca virum tuum, & veni huc.
ὁ ἰησοῦς, ὕπαγε, φώνησον τὸν ἄνδρα σου, καὶ ἐλθὲ ἐνθάδε.
Respondit mulier, & dixit: Non habeo virum. dicit ei
ἀπεκρίθη ἡ γυνὴ, καὶ εἶπεν, οὐκ ἔχω ἄνδρα. λέγει αὐτῇ ὁ 17
Iesus: *Pulchre dixisti, Quia virum non habeo. Quinque enim viros
ἰησοῦς, καλῶς εἶπας, ὅτι ἄνδρα οὐκ ἔχω· πέντε γὰρ ἄνδρας 18
*Bene
habuisti: & nunc quem habes, non est tuus vir, hoc verè dixisti.
ἔσχες, καὶ νῦν ὃν ἔχεις, οὐκ ἔστι σου ἀνήρ· τοῦτο ἀληθὲς εἴρηκας.
Dicit ei mulier: Domine, video quia propheta es tu.
λέγει αὐτῷ ἡ γυνή, κύριε, θεωρῶ ὅτι προφήτης εἶ σύ. 19
Patres nostri in monte hoc adorauerunt, & vos
οἱ πατέρες ἡμῶν ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν, καὶ ὑμεῖς 20
dicitis quia in Hierosolymis est locus, vbi oportet adorare.
λέγετε ὅτι ἐν ἱεροσολύμοις ἐστὶν ὁ τόπος, ὅπου δεῖ προσκυνεῖν.
Dicit ei Iesus: Mulier, crede mihi, quia venit hora
λέγει αὐτῇ ὁ ἰησοῦς, γύναι, πίστευσόν μοι, ὅτι ἔρχεται ὥρα 21
ᵖ venit,
quādo neq; in monte hoc, neque in Hierosolymis adorabi-
ὅτε οὔτε ἐν τῷ ὄρει τούτῳ, οὔτε ἐν ἱεροσολύμοις προσκυνή-
tis Patrem. Vos adoratis quod *non nostis: nos
σετε τῷ πατρί. ὑμεῖς προσκυνεῖτε ὃ οὐκ οἴδατε· ἡμεῖς 22
*nescitis:
adoramus quod scimus: quia salus ex Iudæis est.
προσκυνοῦμεν ὃ οἴδαμεν· ὅτι ἡ σωτηρία ἐκ τῶν ἰουδαίων ἐστίν.
Sed venit hora & nunc est, quando veri adoratores
ἀλλ' ἔρχεται ὥρα καὶ νῦν ἐστιν, ὅτε οἱ ἀληθινοὶ προσκυνηταὶ 23
adorabunt Patrem in spiritu & veritate: ‖etenim
προσκυνήσουσι τῷ πατρὶ ἐν πνεύματι καὶ ἀληθείᾳ· καὶ γὰρ ὁ
‖Nam &
Pater tales quærit ᵖadorantes eum.
πατὴρ τοιούτους ζητεῖ τοὺς προσκυνοῦντας αὐτόν.
ᵖqui adorent
Spiritus* Deus, & *adorantes eum, in
πνεῦμα ὁ θεός, καὶ τοὺς προσκυνοῦντας αὐτόν, ἐν 24
*est *eos qui adorant
spiritu & veritate oportet adorare.
πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν.
Dicit ei mulier: Scio quia Messias venit, ‖dictus
λέγει αὐτῷ ἡ γυνή, οἶδα ὅτι μεσσίας ἔρχεται ὁ λεγόμενος 25
‖qui dicitur
Christus: cùm ᵖ venerit ille, annuntiabit nobis omnia.
χριστός· ὅταν ἔλθῃ ἐκεῖνος, ἀναγγελεῖ ἡμῖν πάντα.
ᵖ ergo
Dicit ei Iesus: Ego sum, *loquens tibi.
λέγει αὐτῇ ὁ ἰησοῦς, ἐγώ εἰμι, ὁ λαλῶν σοι. 26
* qui loquor tecū
Et *super hoc venerunt discipuli eius, & mirabantur quia
καὶ ἐπὶ τούτῳ ἦλθον οἱ μαθηταὶ αὐτοῦ, καὶ ἐθαύμασαν ὅτι 27
*continuò
cum muliere loquebatur: nemo tamen dixit, Quid quæris? aut quid
μετὰ γυναικὸς ἐλάλει· οὐδεὶς μέντοι εἶπε, τί ζητεῖς; ἤ, τί
loqueris cum ea? Reliquit ergo hydriam suam
λαλεῖς μετ' αὐτῆς; ἀφῆκεν οὖν τὴν ὑδρίαν αὐτῆς ἡ 28
mulier, & abiit in ciuitatem, & dicit ‖hominibus
γυνή, καὶ ἀπῆλθεν εἰς τὴν πόλιν, καὶ λέγει τοῖς ἀνθρώποις,
‖illis
Venite, ᵖvidete hominem qui dixit mihi omnia quæcunque feci.
δεῦτε, ἴδετε ἄνθρωπον ὃς εἶπέ μοι πάντα ὅσα ἐποίησα. 29
ᵖ &
nunquid ipse est Christus? Exierunt ergo de ciuitate,
μήτι οὗτός ἐστιν ὁ χριστός; ἐξῆλθον οὖν ἐκ τῆς πόλεως, 30
& veniebant ad eum. *In verò inter rogabant eum
καὶ ἤρχοντο πρὸς αὐτόν. ἐν δὲ τῷ μεταξὺ ἠρώτων αὐτὸν 31
*Interea
discipuli eius, dicentes, Rabbi, manduca.
οἱ μαθηταὶ αὐτοῦ, λέγοντες, ῥαββί, φάγε.

Ille autem dixit eis: Ego cibum habeo manducare, quem vos
32 ὁ δὲ εἶπεν αὐτοῖς, ἐγὼ βρῶσιν ἔχω φαγεῖν, ἣν ὑμεῖς
*non nostis. Dicebant ergo discipuli ad inuicem:
*nescitis.
33 οὐκ οἴδατε. ἔλεγον οὖν οἱ μαθηταὶ πρὸς ἀλλήλους,
‖Num aliquis attulit ei manducare?
‖ Nunquid
μή τις ἤνεγκεν αὐτῷ φαγεῖν;
Dicit eis Iesus: Meus cibus est, vt faciam vo-
34 λέγει αὐτοῖς ὁ ἰησοῦς, ἐμὸν βρῶμά ἐστιν, ἵνα ποιῶ τὸ θέ-
luntatem ᵖemittentis me, *& perficiam eius opus.
ᵖ eius qui misit ‖ vt
λημα τοῦ πέμψαντός με, καὶ τελειώσω αὐτοῦ τὸ ἔργον.
Nonne vos dicitis, Quod adhuc *quadrimestre est, & messis
ᵖ quatuor menses sunt,
35 οὐχ ὑμεῖς λέγετε, ὅτι ἔτι τετράμηνός ἐστι, καὶ ὁ θερισμὸς
venit? ecce dico vobis, Leuate oculos vestros, & vi-
ἔρχεται; ἰδοὺ λέγω ὑμῖν, ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ θε-
dete regiones, quia albæ sunt ad messem iam.
άσασθε τὰς χώρας, ὅτι λευκαί εἰσι πρὸς θερισμὸν ἤδη.
Et ‖metens mercedem accipit, & congregat fructum in
‖ qui metit
36 καὶ ὁ θερίζων μισθὸν λαμβάνει, καὶ συνάγει καρπὸν εἰς
vitam æternam, vt & ᵖseminans simul gaudeat, & *metens.
ᵖqui seminat, * qui metit.
ζωὴν αἰώνιον, ἵνα καὶ ὁ σπείρων ὁμοῦ χαίρῃ καὶ ὁ θερίζων.
In enim hoc verbum est verum, Quia alius est *semi-
*qui seminat,
37 ἐν γὰρ τούτῳ ὁ λόγος ἐστὶν ὁ ἀληθινός, ὅτι ἄλλος ἐστὶν ὁ σπεί-
nans. & alius ᵖmetens. Ego misi vos mete-
ᵖ qui metit.
38 ρων, καὶ ἄλλος ὁ θερίζων. ἐγὼ ἀπέστειλα ὑμᾶς θερί-
re quod non vos laborastis: alij laborauerunt, & vos
ζειν ὃ οὐχ ὑμεῖς κεκοπιάκατε· ἄλλοι κεκοπιάκασι, καὶ ὑμεῖς
in *laborem eorum introistis. Ex autem ciui-
*labores
39 εἰς τὸν κόπον αὐτῶν εἰσεληλύθατε. ἐκ δὲ τῆς πό-
tate illa multi crediderunt in eum Samaritanorum, propter
λεως ἐκείνης πολλοὶ ἐπίστευσαν εἰς αὐτὸν τῶν σαμαρειτῶν, διὰ
verbum mulieris *testantis, Quia dixit mihi omnia quæcunque
*testimonium perhibentis,
τὸν λόγον τῆς γυναικὸς μαρτυρούσης, ὅτι εἶπέ μοι πάντα ὅσα
feci. Cùm ergo venissent ad illum Samaritani, rogauerunt
40 ἐποίησα. ὡς οὖν ἦλθον πρὸς αὐτὸν οἱ σαμαρεῖται, ἠρώτων
eum ‖manere apud eos: & mansit ibi duos dies.
‖ vt ibi maneret,
αὐτὸν μεῖναι παρ' αὐτοῖς· καὶ ἔμεινεν ἐκεῖ δύο ἡμέρας.
Et multò plures crediderunt in eum propter sermonem eius.
41 καὶ πολλῷ πλείους ἐπίστευσαν διὰ τὸν λόγον αὐτοῦ·
Et mulieri dicebant, Quia non ᵖamplius propter tuam loquelam
ᵖ iam
42 τῇ τε γυναικὶ ἔλεγον, ὅτι οὐκέτι διὰ τὴν σὴν λαλιὰν
credimus: ipsi enim audiuimus, & scimus quia hic est ve-
πιστεύομεν· αὐτοὶ γὰρ ἀκηκόαμεν, καὶ οἴδαμεν ὅτι οὗτός ἐστιν ἀλη-
rè saluator mundi Christus.
θῶς ὁ σωτὴρ τοῦ κόσμου ὁ χριστός.
Post autem duos dies exiit inde, & abiit in
43 μετὰ δὲ τὰς δύο ἡμέρας ἐξῆλθεν ἐκεῖθεν, καὶ ἀπῆλθεν εἰς
Galilæam. Ipse enim Iesus *testatus est,
*testimonium perhibuit,
44 τὴν γαλιλαίαν. αὐτὸς γὰρ ὁ ἰησοῦς ἐμαρτύρησεν,
quia propheta in *propria patria honorem non habet.
* sua
ὅτι προφήτης ἐν τῇ ἰδίᾳ πατρίδι τιμὴν οὐκ ἔχει.
Cùm ergo venisset in Galilæam, exceperunt eum Ga-
45 ὅτε οὖν ἦλθεν εἰς τὴν γαλιλαίαν, ἐδέξαντο αὐτὸν οἱ γα-
lilæi, ‖omnia intuiti quæ fecerat in Hierosolymis in
‖ cùm vidissent
λιλαῖοι, πάντα ἑωρακότες, ἃ ἐποίησεν ἐν ἱεροσολύμοις ἐν
ᵖfesto: & ipsi enim venerant ad *festum.
ᵖ die *diem
τῇ ἑορτῇ· καὶ αὐτοὶ γὰρ ἦλθον εἰς τὴν ἑορτήν.
Venit ergo Iesus iterum in Cana Galilææ, vbi
46 ἦλθεν οὖν ὁ ἰησοῦς πάλιν εἰς τὴν κανᾶ τῆς γαλιλαίας, ὅπου
fecit aquam vinum. & erat quidam regulus, cuius filius infirmabatur
ἐποίησε τὸ ὕδωρ οἶνον. καὶ ἦν τις βασιλικός, οὗ ὁ υἱὸς ἠσθένει
in Capharnaum. Hic *audiens quia Iesus adueniret ‖ex Iu-
* Cùm audisset ‖ à
47 ἐν καπερναούμ. οὗτος ἀκούσας ὅτι ἰησοῦς ἥκει ἐκ τῆς ἰου-
dæa in Galilæam, abiit ad eum, & rogabat eum vt
δαίας εἰς τὴν γαλιλαίαν, ἀπῆλθε πρὸς αὐτόν, καὶ ἠρώτα αὐτὸν ἵνα
descenderet, & sanaret ᵖipsum filium *futurus erat enim mori.
ᵖ eius *incipiebat
καταβῇ, καὶ ἰάσηται αὐτοῦ τὸν υἱόν· ἤμελλε γὰρ ἀποθνήσκειν.
Dixit ergo Iesus ad eum: *Si non signa & prodigia
* Nisi
48 εἶπεν οὖν ὁ ἰησοῦς πρὸς αὐτόν, ἐὰν μὴ σημεῖα καὶ τέρατα
videritis, non ‖credetis. Dicit ad eum regulus:
‖ creditis.
49 ἴδητε, οὐ μὴ πιστεύσητε. λέγει πρὸς αὐτὸν ὁ βασιλικός,
Domine, descende ᵖante mori puerum meum,
ᵖ prius quàm moriatur filius meus.
κύριε, κατάβηθι πρὶν ἀποθανεῖν τὸ παιδίον μου.
Dicit ei Iesus: Vade, filius tuus viuit. & credidit
50 λέγει αὐτῷ ὁ ἰησοῦς, πορεύου· ὁ υἱός σου ζῇ. καὶ ἐπίστευσεν
homo sermoni quem dixit ei Iesus, & ibat.
ὁ ἄνθρωπος τῷ λόγῳ ᾧ εἶπεν αὐτῷ ὁ ἰησοῦς, καὶ ἐπορεύετο.
Iam autem eo descendente, serui eius occurrerunt
51 ἤδη δὲ αὐτοῦ καταβαίνοντος οἱ δοῦλοι αὐτοῦ ἀπήντησαν
ei, & nunciauerunt, dicentes, Quia *puer tuus viuit.
*filius eius viueret.
αὐτῷ, καὶ ἀπήγγειλαν, λέγοντες, ὅτι ὁ παῖς σου ζῇ.
Interrogabat ergo ab eis horam in qua melius habuerit: &
52 ἐπύθετο οὖν παρ' αὐτῶν τὴν ὥραν ἐν ᾗ κομψότερον ἔσχε· καὶ
dixerunt ei, Quia heri horam septimam reliquit eum febris.
εἶπον αὐτῷ, ὅτι χθὲς ὥραν ἑβδόμην ἀφῆκεν αὐτὸν ὁ πυρετός.
Cognouit ergo pater quia in illa hora*, in qua dixit ei
* erat,
53 ἔγνω οὖν ὁ πατὴρ ὅτι ἐν ἐκείνῃ τῇ ὥρᾳ, ἐν ᾗ εἶπεν αὐτῷ ὁ
Iesus, Quia filius tuus viuit. & credidit ipse, & domus eius tota.
ἰησοῦς, ὅτι ὁ υἱός σου ζῇ. καὶ ἐπίστευσεν αὐτὸς καὶ ἡ οἰκία αὐτοῦ ὅλη.
Hoc iterum secundum signum fecerit Iesus ‖veniens ex
‖ cùm venisset à
54 τοῦτο πάλιν δεύτερον σημεῖον ἐποίησεν ὁ ἰησοῦς ἐλθὼν ἐκ
Iudæa in Galilæam.
τῆς ἰουδαίας εἰς τὴν γαλιλαίαν.

CAP. V. έ.

Post hæc erat *festum Iudæorum, & ascendit Iesus
Μετὰ ταῦτα ἦν ἑορτὴ τῶν ἰουδαίων, καὶ ἀνέβη ὁ ἰησοῦς 1
in Hierosolymam. Est autem in Hierosolymis super
εἰς ἱεροσόλυμα. ἔστι δὲ ἐν τοῖς ἱεροσολύμοις ἐπὶ τῇ 2
Probatica piscina ‖cognominata Hebraicè Bethesda.
προβατικῇ κολυμβήθρα ἡ ἐπιλεγομένη ἑβραϊστὶ βηθεσδά,
quinque porticus habens: In his iacebat multitudo
πέντε στοὰς ἔχουσα. ἐν ταύταις κατέκειτο πλῆθος 3
multa languentium, cæcorum, claudorum, aridorum, expectantium
πολὺ τῶν ἀσθενούντων, τυφλῶν, χωλῶν, ξηρῶν, ἐκδεχομένων
aquæ motum. Angelus *enim secundum tempus
τὴν τοῦ ὕδατος κίνησιν. ἄγγελος γὰρ κατὰ καιρὸν 4
descendebat in piscinam, & *turbabat aquam: igitur
κατέβαινεν ἐν τῇ κολυμβήθρᾳ, καὶ ἐτάρασσε τὸ ὕδωρ· ὁ οὖν
primus descendens post motionem aquæ, sanus fiebat ‖quo
πρῶτος ἐμβὰς μετὰ τὴν ταραχὴν τοῦ ὕδατος, ὑγιὴς ἐγίνετο, ᾧ
tandem detinebatur ℘morbo. Erat autē quidam homo
δήποτε κατείχετο νοσήματι. ἦν δέ τις ἄνθρωπος 5
ibi triginta* octo annos habens in infirmitate*.
ἐκεῖ τριάκοντα ὀκτὼ ἔτη ἔχων ἐν τῇ ἀσθενείᾳ.
Hunc‖videns Iesus iacentem, & ℘cognoscens quia multum
τοῦτον ἰδὼν ὁ ἰησοῦς κατακείμενον, καὶ γνοὺς ὅτι πολὺν 6
iam tempus haberet, dicit ei: Vis sanus fieri?
ἤδη χρόνον ἔχει, λέγει αὐτῷ, θέλεις ὑγιὴς γενέσθαι;
Respondit ei languidus: Domine, hominem non habeo, vt
ἀπεκρίθη αὐτῷ ὁ ἀσθενῶν, κύριε, ἄνθρωπον οὐκ ἔχω, ἵνα 7
cùm turbata fuerit aqua, mittat me in piscinam: ‖*in
ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλλῃ με εἰς τὴν κολυμβήθραν· ἐν
quo autem venio ego, alius ante me descendit.
ᾧ δὲ ἔρχομαι ἐγὼ, ἄλλος πρὸ ἐμοῦ καταβαίνει.
Dicit ei Iesus: *Excitare, tolle grabatum tuum, &
λέγει αὐτῷ ὁ ἰησοῦς, ἔγειραι, ἆρον τὸν κράββατόν σου, καὶ 8
ambula. Et statim factus est sanus ille homo:
περιπάτει. καὶ εὐθέως ἐγένετο ὑγιὴς ὁ ἄνθρωπος, 9
& sustulit grabatum suum, & ambulabat. erat autem sabbatum
καὶ ἦρε τὸν κράββατον αὐτοῦ, καὶ περιεπάτει. ἦν δὲ σάββατον
in illo die. Dicebant ergo Iudæi ‖cu-
ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. ἔλεγον οὖν οἱ ἰουδαῖοι τῷ τεθε- 10
rato. Sabbatum est. non licet tibi tollere grabatum℘.
ραπευμένῳ, σάββατόν ἐστιν. οὐκ ἔξεστί σοι ἆραι τὸν κράββατον.
Respondit eis, *Faciens me sanum, ille mihi dixit,
ἀπεκρίθη αὐτοῖς, ὁ ποιήσας με ὑγιῆ, ἐκεῖνός μοι εἶπεν, 11
Tolle grabatum tuum, & ambula.
ἆρον τὸν κράββατόν σου, καὶ περιπάτει.
Interrogauerunt ergo eum, Quis est ille homo *dicens tibi,
ἠρώτησαν οὖν αὐτὸν, τίς ἐστιν ὁ ἄνθρωπος ὁ εἰπών σοι, 12
Tolle grabatum tuum, & ambula? ‖At sanatus non
ἆρον τὸν κράββατόν σου, καὶ περιπάτει; ὁ δὲ ἰαθεὶς οὐκ 13
sciebat quis esset: nam Iesus℘ declinauit *turba *existente in loco.
ᾔδει τίς ἐστιν· ὁ γὰρ ἰησοῦς ἐξένευσεν ὄχλου ὄντος ἐν τῷ τόπῳ.
Postea inuenit eum Iesus in templo, & dixit
μετὰ ταῦτα εὑρίσκει αὐτὸν ὁ ἰησοῦς ἐν τῷ ἱερῷ, καὶ εἶπεν 14
illi: Ecce sanus factus es: ‖ne amplius pecca, vt non deterius
αὐτῷ, ἴδε ὑγιὴς γέγονας· μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν
aliquid tibi ℘fiat. Abiit ille homo, & nuntiauit
τί σοι γένηται. ἀπῆλθεν ὁ ἄνθρωπος, καὶ ἀνήγγειλε 15
Iudæis, Quia Iesus esset *faciens eum sanum.
τοῖς ἰουδαίοις, ὅτι ἰησοῦς ἐστιν ὁ ποιήσας αὐτὸν ὑγιῆ.
Et propter *hoc persequebantur Iesum Iudæi, & quæ-
καὶ διὰ τοῦτο ἐδίωκον τὸν ἰησοῦν οἱ ἰουδαῖοι, καὶ ἐζή- 16
rebant eum occidere, quia hæc faciebat in sabbato.
τουν αὐτὸν ἀποκτεῖναι, ὅτι ταῦτα ἐποίει ἐν σαββάτῳ.
At Iesus* respondit eis: Pater meus vsque modò ope-
ὁ δὲ ἰησοῦς ἀπεκρίνατο αὐτοῖς, ὁ πατήρ μου ἕως ἄρτι ἐργά- 17
ratur. & ego operor. Propter‖hoc ergo magis
ζεται, κἀγὼ ἐργάζομαι. διὰ τοῦτο οὖν μᾶλλον 18
quærebant eum Iudæi interficere, quia non solùm soluebat
ἐζήτουν αὐτὸν οἱ ἰουδαῖοι ἀποκτεῖναι, ὅτι οὐ μόνον † ἔλυε τὸ
sabbatum, sed & patrem ℘proprium dicebat Deum, æqualē seipsum
σάββατον, ἀλλὰ καὶ πατέρα ἴδιον ἔλεγε τὸν θεὸν, ἴσον ἑαυτὸν
faciens Deo. Respondit itaque Iesus, & dixit illis:
ποιῶν τῷ θεῷ. ἀπεκρίνατο οὖν ὁ ἰησοῦς, καὶ εἶπεν αὐτοῖς, 19
Amen amen dico vobis, Non potest filius facere à seipso
ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐ δύναται ὁ υἱὸς ποιεῖν ἀφ᾽ ἑαυτοῦ
*nihil, si non quod viderit patrem facientem: quæcunq; enim
οὐδὲν, ἐὰν μή τι βλέπῃ τὸν πατέρα ποιοῦντα. ἃ γὰρ ἂν
ille fecerit, hæc & filius similiter facit.
ἐκεῖνος ποιῇ, ταῦτα καὶ ὁ υἱὸς ὁμοίως ποιεῖ.
Nam pater* diligit filium, & omnia demonstrat ei quæ
ὁ γὰρ πατὴρ φιλεῖ τὸν υἱὸν, καὶ πάντα δείκνυσιν αὐτῷ ἃ 20
ipse facit, & maiora his demonstrabit ei opera, vt
αὐτὸς ποιεῖ, καὶ μείζονα τούτων δείξει αὐτῷ ἔργα, ἵνα
vos miremini. Sicut enim pater suscitat mortuos,
ὑμεῖς θαυμάζητε. ὥσπερ γὰρ ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς, 21
& viuificat, sic & filius quos vult viuificat.
καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ.
Neque enim pater iudicat ‖neminem, sed iudicium
οὐδὲ γὰρ ὁ πατὴρ κρίνει οὐδένα, ἀλλὰ τὴν κρίσιν 22
omne dedit filio.
πᾶσαν δέδωκε τῷ υἱῷ·

*dies festus
‖quæ cognominatur
℘Bethsaida,
magna
*autem Domini
*mouebatur aqua: & qui prior descendisset in piscinam
‖à quacunque
℘infirmitate.
*& *sua.
‖cùm vidisset
℘cognouisset
*dum enim
*Surge,
‖illi qui sanatus fuerat,
℘tuum.
*‖Qui fecit
*qui dixit
‖Is autem qui sanus fuerat effectus, nesciebat
℘enim *à
*constituta
ἐκνεύω
‖iam noli peccare, ne
℘contingat.
*qui fecit
*ea
*autem
‖ea
λύω
℘suum
quicquam, nisi
*enim
‖quenquam.

Vt omnes honorificent filium sicut honorificant patrem.
23 ἵνα πάντες τιμῶσι τὸν υἱὸν καθὼς τιμῶσι τὸν πατέρα.
℘non *honorificans filium, non honorificat patrem *mittentem illum.
ὁ μὴ τιμῶν τὸν υἱὸν, οὐ τιμᾷ τὸν πατέρα τὸν πέμψαντα αὐτόν.
Amen amen dico vobis, quia‖ verbum meum ℘audiens, &
24 ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ὁ τὸν λόγον μου ἀκούων, καὶ
credens mittenti me, habet vitam æternam, & in iudicium
πιστεύων τῷ πέμψαντί με, ἔχει ζωὴν αἰώνιον, καὶ εἰς κρίσιν
non venit, sed *transiit ex morte in vitam.
οὐκ ἔρχεται, ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν.
Amen amen dico vobis, quia venit hora, & nunc est, quādo
25 ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ἔρχεται ὥρα, καὶ νῦν ἐστιν, ὅτε
mortui audient vocem filij Dei, & *audientes
οἱ νεκροὶ ἀκούσονται τῆς φωνῆς τοῦ υἱοῦ τοῦ θεοῦ καὶ οἱ ἀκούσαντες
viuent. Sicut enim pater habet vitam in semetipso, sic
26 ζήσονται. ὥσπερ γὰρ ὁ πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως
dedit & filio vitam habere in semetipso. Et potestatem
27 ἔδωκε καὶ τῷ υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ· καὶ ἐξουσίαν
dedit ei etiam iudicium facere, quia filius hominis est.
ἔδωκεν αὐτῷ καὶ κρίσιν ποιεῖν, ὅτι υἱὸς ἀνθρώπου ἐστί.
‖Ne miramini hoc, quia venit hora, in qua omnes qui in
28 μὴ θαυμάζετε τοῦτο, ὅτι ἔρχεται ὥρα, ἐν ᾗ πάντες οἱ ἐν
monumentis ℘ audient vocem eius.
τοῖς μνημείοις ἀκούσονται τῆς φωνῆς αὐτοῦ·
Et procedent qui bona *facientes. in resurrectionē
29 καὶ ἐκπορεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες, εἰς ἀνάστασιν
vitæ: qui verò mala *agentes, in resurrectionem iudicij.
ζωῆς· οἱ δὲ τὰ φαῦλα πράξαντες, εἰς ἀνάστασιν κρίσεως.
Non possum ego facere à meipso ‖nihil: sicut audio,
30 οὐ δύναμαι ἐγὼ ποιεῖν ἀπ᾽ ἐμαυτοῦ οὐδέν· καθὼς ἀκούω,
iudico, & iudicium meum iustum est: quia non quæro voluntatem
κρίνω, καὶ ἡ κρίσις ἡ ἐμὴ δικαία ἐστίν· ὅτι οὐ ζητῶ τὸ θέλημα
meam, sed voluntatem ℘mittentis me Patris.
τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με πατρός.
Si ego *testor de meipso, testimonium meum non est
31 ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν
verum. Alius est *testans de me, & scio quia
32 ἀληθής. ἄλλος ἐστὶν ὁ μαρτυρῶν περὶ ἐμοῦ, καὶ οἶδα ὅτι
verum est testimonium quod‖testatur de me.
ἀληθής ἐστιν ἡ μαρτυρία ἣν μαρτυρεῖ περὶ ἐμοῦ.
Vos misistis ad Ioannem, & ℘testatus est
33 ὑμεῖς ἀπεστάλκατε πρὸς ἰωάννην, καὶ μεμαρτύρηκε τῇ
veritati. Ego autē non ab homine testimonium
34 ἀληθείᾳ. ἐγὼ δὲ οὐ παρὰ ἀνθρώπου τὴν μαρτυρίαν
*accipio: sed hæc dico, vt vos *seruemini.
λαμβάνω· ἀλλὰ ταῦτα λέγω, ἵνα ὑμεῖς σωθῆτε.
Ille erat lucerna ardens, & lucens: vos autem
35 ἐκεῖνος ἦν ὁ λύχνος ὁ καιόμενος, καὶ φαίνων· ὑμεῖς δὲ
voluistis exultare ad horam in luce eius.
ἠθελήσατε ἀγαλλιασθῆναι πρὸς ὥραν ἐν τῷ φωτὶ αὐτοῦ.
Ego autē habeo testimonium maius Ioanne: nam
36 ἐγὼ δὲ ἔχω τὴν μαρτυρίαν μείζω τοῦ ἰωάννου· τὰ γὰρ
opera* quæ dedit mihi pater vt perficiam ea, ipsa opera
ἔργα ἃ ἔδωκέ μοι ὁ πατὴρ ἵνα τελειώσω αὐτὰ, αὐτὰ τὰ ἔργα
quæ ego facio ‖testantur de me quia pater me misit.
ἃ ἐγὼ ποιῶ, μαρτυρεῖ περὶ ἐμοῦ ὅτι ὁ πατήρ με ἀπέσταλκε.
Et ℘mittens me pater, ipse *testatus est de me:
37 καὶ ὁ πέμψας με πατὴρ, αὐτὸς μεμαρτύρηκε περὶ ἐμοῦ.
neque vocem eius audistis vnquam, neque speciem eius vidistis:
οὔτε φωνὴν αὐτοῦ ἀκηκόατε πώποτε, οὔτε εἶδος αὐτοῦ ἑωράκατε·
Et verbum eius non habetis manens in vobis: quia quem
38 καὶ τὸν λόγον αὐτοῦ οὐκ ἔχετε μένοντα ἐν ὑμῖν· ὅτι ὃν
misit ille, huic vos non creditis.
ἀπέστειλεν ἐκεῖνος, τούτῳ ὑμεῖς οὐ πιστεύετε.
Scrutamini scripturas, quia vos putatis in ipsis vitam
39 ἐρευνᾶτε τὰς γραφὰς, ὅτι ὑμεῖς δοκεῖτε ἐν αὐταῖς ζωὴν
æternam habere, & illæ sunt *testantes de me,
αἰώνιον ἔχειν, καὶ ἐκεῖναί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ.
*Et non vultis venire ad me, vt vitam habeatis.
40 καὶ οὐ θέλετε ἐλθεῖν πρός με, ἵνα ζωὴν ἔχητε.
‖Gloriam ab hominibus non accipio.
41 δόξαν παρὰ ἀνθρώπων οὐ λαμβάνω.
Sed cognoui vos, quia dilectionem Dei non habetis
42 ἀλλ᾽ ἔγνωκα ὑμᾶς, ὅτι τὴν ἀγάπην τοῦ θεοῦ οὐκ ἔχετε
in vobis ipsis. Ego veni in nomine patris
43 ἐν ἑαυτοῖς. ἐγὼ ἐλήλυθα ἐν τῷ ὀνόματι τοῦ πατρός
mei, & non ℘accipitis me: si alius venerit in nomine
μου, καὶ οὐ λαμβάνετέ με· ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ ὀνόματι τῷ
*proprio, illum accipietis. Quomodo potestis vos cre-
44 ἰδίῳ, ἐκεῖνον λήψεσθε. πῶς δύνασθε ὑμεῖς πιστεῦ-
dere, *gloriam ab inuicem ‖accipientes. & gloriam quæ
σαι, δόξαν παρὰ ἀλλήλων λαμβάνοντες, καὶ τὴν δόξαν τὴν
à solo Deo ℘non quæritis? *Ne putate quia ego
45 παρὰ τοῦ μόνου θεοῦ οὐ ζητεῖτε; μὴ δοκεῖτε ὅτι ἐγὼ
*accusabo vos apud patrem: est ‖accusans vos Moy-
κατηγορήσω ὑμῶν πρὸς τὸν πατέρα· ἔστιν ὁ κατηγορῶν ὑμῶν μω-
ses, in quo vos speratis.
σῆς, εἰς ὃν ὑμεῖς ἠλπίκατε.
Si enim crederetis Moysi, crederetis ℘vtique mihi: de enim me
46 εἰ γὰρ ἐπιστεύετε μωσῇ, ἐπιστεύετε ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ
ille scripsit.
ἐκεῖνος ἔγραψεν.

℘Qui *honorificat
*qui misit
‖qui
℘audit, & credit ei qui misit
transiet à
*qui audierint
‖Nolite mirari
℘sunt,
*fecerunt,
*egerunt,
‖quicquam:
℘eius qui misit
*testimonium perhibeo
*qui testimonium perhibet
‖perhibet
℘testimonium perhibuit
salui sitis.
*enim
‖testimonium perhibent
℘qui misit
*testimonium perhibuit
*quæ testimonium perhibent
‖Claritatem
℘accepistis
*suo,
*qui
‖accipitis,
℘est,
*Nolite putare
*accusaturus sim
‖qui accidat
℘forsitan &

Si autem illius litteris non creditis, quomodo
εἰ δὲ τοῖς ἐκείνου γράμμασιν οὐ πιστεύετε, πῶς τοῖς 47
meis verbis credetis?
ἐμοῖς ῥήμασι πιστεύσετε;

CAP. VI. ϛ'.

Post hæc abiit Iesus trans mare
Μετὰ ταῦτα ἀπῆλθεν ὁ Ἰησοῦς πέραν τῆς θαλάσσης τῆς 1
Galilææ* Tiberiadis: Et sequebatur eum ‖turba multa: [℘quod est ‖multitudo magna:]
Γαλιλαίας τῆς Τιβεριάδος· καὶ ἠκολούθει αὐτῷ ὄχλος πολύς· 2
quia videbant eius signa quæ faciebat super ℘infirmantibus. [℘his qui infirmabantur.]
ὅτι ἑώρων αὐτοῦ τὰ σημεῖα ἃ ἐποίει ἐπὶ τῶν ἀσθενούντων.
Subiit *autem in montem Iesus, & ibi sedebat cum [*ergo]
ἀνῆλθε δὲ εἰς τὸ ὄρος ὁ Ἰησοῦς, καὶ ἐκεῖ ἐκάθητο μετὰ 3
discipulis suis. Erat autem proximum Pascha *festum [*dies festus]
τῶν μαθητῶν αὐτοῦ. ἦν δὲ ἐγγὺς τὸ πάσχα ἡ ἑορτὴ 4
Iudæorum. ‖Attollens ergo Iesus oculos, [‖Cùm sublevasset]
τῶν Ἰουδαίων. ἐπάρας οὖν ὁ Ἰησοῦς τοὺς ὀφθαλμούς, 5
& ℘intuitus quia *multa turba venit ad eum, dicit [℘vidisset *multitudo maxima]
καὶ θεασάμενος ὅτι πολὺς ὄχλος ἔρχεται πρὸς αὐτόν, λέγει
ad Philippum: Vnde ememus panes, vt mandu-
πρὸς τὸν Φίλιππον, πόθεν ἀγοράσομεν ἄρτους, ἵνα φάγω-
cent hi? Hoc autem dicebat tentans eum: ipse enim
σιν οὗτοι; τοῦτο δὲ ἔλεγε πειράζων αὐτόν· αὐτὸς γὰρ 6
sciebat quid futurus esset *facere. Respondit ei Philippus: [*facturus.]
ᾔδει τί ἔμελλε ποιεῖν. ἀπεκρίθη αὐτῷ Φίλιππος 7
Ducentorum denariorum panes non sufficiunt eis, vt vnusquisque
διακοσίων δηναρίων ἄρτοι οὐκ ἀρκοῦσιν αὐτοῖς, ἵνα ἕκαστος
eorum modicum quid accipiat. Dicit ei vnus ex discipulis
αὐτῶν βραχύ τι λάβῃ. λέγει αὐτῷ εἷς ἐκ τῶν μαθητῶν 8
eius, Andreas frater Simonis Petri: Est puerulus
αὐτοῦ Ἀνδρέας ὁ ἀδελφὸς Σίμωνος Πέτρου· ἔστι παιδάριον 9
vnus hic, qui habet quinque panes hordeaceos, & duos ‖pisciculos. [‖pisces:]
ἓν ὧδε ὃ ἔχει πέντε ἄρτους κριθίνους, καὶ δύο ὀψάρια·
sed hæc quid sunt inter ℘tot? Dicit *autem Iesus: [℘tantos? *ergo]
ἀλλὰ ταῦτα τί ἐστιν εἰς τοσούτους; εἶπε δὲ ὁ Ἰησοῦς, 10
Facite homines discumbere: erat autem fœnum multum in
ποιήσατε τοὺς ἀνθρώπους ἀναπεσεῖν. ἦν δὲ χόρτος πολὺς ἐν
loco: discubuerunt ergo viri *numerum quasi quinque [*numero]
τῷ τόπῳ· ἀνέπεσον οὖν οἱ ἄνδρες τὸν ἀριθμὸν ὡσεὶ πεντα-
millia. Accepit ‖autem panes Iesus, & ℘gratias [‖ergo ℘cùm]
κισχίλιοι. ἔλαβε δὲ τοὺς ἄρτους ὁ Ἰησοῦς, καὶ εὐχα- 11
*agens distribuit discipulis, at discipuli discumben- [*egisset, διαδίδωμι]
ριστήσας †διέδωκε τοῖς μαθηταῖς, οἱ δὲ μαθηταὶ τοῖς ἀνακει-
tibus: similiter & ex *pisciculis quantum volebant. [*piscibus]
μένοις· ὁμοίως καὶ ἐκ τῶν ὀψαρίων ὅσον ἤθελον.
Vt autem impleti sunt, ‖dicit discipulis suis: Colli- [‖dixit]
ὡς δὲ ἐνεπλήσθησαν, λέγει τοῖς μαθηταῖς αὐτοῦ, συνα- 12
gite ℘superabundantia fragmenta, *vt non quid pereat. [℘quæ superauerũt *ne pereant.]
γάγετε τὰ περισσεύσαντα κλάσματα, ἵνα μή τι ἀπόληται.
Collegerunt ergo, & impleuerunt duodecim cophinos fragmento-
συνήγαγον οὖν, καὶ ἐγέμισαν δώδεκα κοφίνους κλασμά- 13
rum, ex quinque panibus hordeaceis, quæ superfuerunt
των, ἐκ τῶν πέντε ἄρτων τῶν κριθίνων, ἃ ἐπερίσσευσε τοῖς
*comedentibus. Illi ergo homines *videntes quod fecerat [*his qui manducauerant. ‖cùm vidissent]
βεβρωκόσιν. οἱ οὖν ἄνθρωποι ἰδόντες ὃ ἐποίησε 14
signum Iesus, dicebant, Quia hic est verè Propheta℘ [℘qui est]
σημεῖον ὁ Ἰησοῦς, ἔλεγον, ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ προφήτης ὁ
venturus in mundum. Iesus ergo *cognoscens quod futuri [*cùm cognouisset quia venturi essent]
ἐρχόμενος εἰς τὸν κόσμον. Ἰησοῦς οὖν γνοὺς ὅτι μέλ- 15
essent venire & rapere eum, *vt facerent eum re- [*vt raperent &]
λουσιν ἔρχεσθαι καὶ ἁρπάζειν αὐτόν, ἵνα ποιήσωσιν αὐτὸν βα-
gem, ‖recessit iterum in montem ipse solus. [‖fugit]
σιλέα, ἀνεχώρησε πάλιν εἰς τὸ ὄρος αὐτὸς μόνος.
Vt autem ℘serum factum est, descenderunt discipuli eius ad [℘serò]
ὡς δὲ ὀψία ἐγένετο, κατέβησαν οἱ μαθηταὶ αὐτοῦ ἐπὶ τὴν 16
mare. Et *ascendentes in nauim, venerunt trans [*cùm ascendissent]
θάλασσαν· καὶ ἐμβάντες εἰς τὸ πλοῖον, ἤρχοντο πέραν 17
mare in Capharnaum: & tenebræ iam factæ erant,
τῆς θαλάσσης εἰς Καπερναούμ. καὶ σκοτία ἤδη ἐγεγόνει,
& non venerat ad eos Iesus.
καὶ οὐκ ἐληλύθει πρὸς αὐτοὺς ὁ Ἰησοῦς.
Et mare* vento magno flante, exurgebat. [*autem]
ἥ τε θάλασσα ἀνέμου μεγάλου πνέοντος διηγείρετο. 18
‖Prouecti ergo quasi stadia vigintiquinque aut triginta, [‖Cùm remigassent ἐλαύνω]
† ἐληλακότες οὖν ὡς σταδίους εἰκοσιπέντε ἢ τριάκοντα, 19
vident Iesum ambulantem supra mare, &
θεωροῦσι τὸν Ἰησοῦν περιπατοῦντα ἐπὶ τῆς θαλάσσης, καὶ
℘prope nauem factum, & timuerunt. [℘proximum naui fieri:]
ἐγγὺς τοῦ πλοίου γινόμενον, καὶ ἐφοβήθησαν.
Ille autem dicit eis: Ego sum, *ne timete, [*nolite timere.]
ὁ δὲ λέγει αὐτοῖς, ἐγώ εἰμι, μὴ φοβεῖσθε. 20
Voluerunt ergo accipere eum in nauim, & statim
ἤθελον οὖν λαβεῖν αὐτὸν εἰς τὸ πλοῖον, καὶ εὐθέως τὸ 21
nauis *facta est ad terram in quam ibant. [*fuit]
πλοῖον ἐγένετο ἐπὶ τῆς γῆς εἰς ἣν ὑπῆγον.
‖Postridie turba ℘constituta trans mare, *videns [‖Altera ℘quæ stabat] *vidit]
Τῇ ἐπαύριον ὁ ὄχλος ὁ ἑστηκὼς πέραν τῆς θαλάσσης, ἰδὼν 22
quia nauicula alia non erat ibi, *si non vna illa in quam intrarant [*nisi]
ὅτι πλοιάριον ἄλλο οὐκ ἦν ἐκεῖ, εἰ μὴ ἓν ἐκεῖνο εἰς ὃ ἐνέβησαν
discipuli eius, & quia non simul introisset ‖ discipulis suis [‖cum]
οἱ μαθηταὶ αὐτοῦ, καὶ ὅτι οὐ συνεισῆλθε τοῖς μαθηταῖς αὐτοῦ ὁ

Iesus in ℘nauiculam, sed soli discipuli eius abiissent. [℘nauim,]
Ἰησοῦς εἰς τὸ πλοιάριον, ἀλλὰ μόνοι οἱ μαθηταὶ αὐτοῦ ἀπῆλθον.
Aliæ verò superuenerunt naues à Tiberiade iuxta locum
23 ἄλλα δὲ ἦλθε πλοιάρια ἐκ Τιβεριάδος ἐγγὺς τοῦ τόπου
vbi manducauerant panem, gratias *agente Domino. [*agentes]
ὅπου ἔφαγον τὸν ἄρτον, εὐχαριστήσαντος τοῦ κυρίου.
Cùm ergo vidisset turba quia Iesus non esset ibi, neque di-
24 ὅτε οὖν εἶδεν ὁ ὄχλος ὅτι Ἰησοῦς οὐκ ἔστιν ἐκεῖ, οὐδὲ οἱ μα-
scipuli eius, ascenderunt ipsi in nauiculas, & venerunt in Ca-
θηταὶ αὐτοῦ, ἐνέβησαν αὐτοὶ εἰς τὰ πλοῖα, καὶ ἦλθον εἰς Κα-
pharnaum, quærentes Iesum. Et *inuenientes eum trans [*cùm inuenissent]
25 περναοὺμ ζητοῦντες τὸν Ἰησοῦν. καὶ εὑρόντες αὐτὸν πέραν
mare, dixerunt ei: Rabbi, quando huc ‖factus es? [‖venisti?]
τῆς θαλάσσης, εἶπον αὐτῷ, ῥαββί, πότε ὧδε γέγονας;
Respondit eis Iesus, & dixit: Amen amen dico
26 ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς, καὶ εἶπεν, ἀμὴν ἀμὴν λέγω
vobis, Quæritis me non quia vidistis signa, sed quia mãducastis ex
ὑμῖν, ζητεῖτέ με οὐχ ὅτι εἴδετε σημεῖα, ἀλλ' ὅτι ἐφάγετε ἐκ
panibus, & saturati estis. Operamini non cibum
27 τῶν ἄρτων, καὶ ἐχορτάσθητε. ἐργάζεσθε μὴ τὴν βρῶσιν
℘pereuntem, sed *cibum manentem in vitam [℘qui perit, *qui permanet]
τὴν ἀπολλυμένην, ἀλλὰ τὴν βρῶσιν τὴν μένουσαν εἰς ζωὴν
æternam, quem filius hominis vobis dabit: hunc enim pater
αἰώνιον, ἣν ὁ υἱὸς τοῦ ἀνθρώπου ὑμῖν δώσει· τοῦτον γὰρ ὁ πατὴρ
signauit Deus. Dixerunt ergo ad eum: Quid facie-
28 ἐσφράγισεν ὁ θεός. εἶπον οὖν πρὸς αὐτόν, τί ποιοῦ-
mus, vt operemur opera Dei? Respondit
29 μεν, ἵνα ἐργαζώμεθα τὰ ἔργα τοῦ θεοῦ; ἀπεκρίθη ὁ
Iesus & dixit eis: Hoc est opus Dei, vt creda-
Ἰησοῦς καὶ εἶπεν αὐτοῖς, τοῦτό ἐστι τὸ ἔργον τοῦ θεοῦ, ἵνα πιστεύ-
tis in *quem misit ille. Dixerunt ergo ei: Quod ergo [*cum]
30 σητε εἰς ὃν ἀπέστειλεν ἐκεῖνος. εἶπον οὖν αὐτῷ, τί οὖν
facis tu signum, vt videamus & credamus tibi? quod operaris?
ποιεῖς σὺ σημεῖον, ἵνα ἴδωμεν καὶ πιστεύσωμέν σοι; τί ἐργάζῃ;
Patres nostri manna mãducauerũt in deserto, sicut est
31 οἱ πατέρες ἡμῶν τὸ μάννα ἔφαγον ἐν τῇ ἐρήμῳ, καθώς ἐστι
scriptum, Panem de cælo dedit eis manducare.
γεγραμμένον, ἄρτον ἐκ τοῦ οὐρανοῦ ἔδωκεν αὐτοῖς φαγεῖν.
Dixit ergo eis Iesus: Amen amen dico vobis, Non
32 εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς, ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐ
Moyses dedit vobis panem de cælo, sed pater meus
Μωσῆς δέδωκεν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ, ἀλλ' ὁ πατήρ μου
dat vobis panem de cælo verum.
δίδωσιν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ τὸν ἀληθινόν.
Nam panis ‖ Dei est ℘ille descendens de cælo, & [‖enim ℘qui descendit]
33 ὁ γὰρ ἄρτος τοῦ θεοῦ ἐστιν ὁ καταβαίνων ἐκ τοῦ οὐρανοῦ, καὶ
vitam *dans mundo. Dixerunt ergo ad eum: Domine, [*dat]
34 ζωὴν διδοὺς τῷ κόσμῳ. εἶπον οὖν πρὸς αὐτόν, κύριε,
semper da nobis panem hunc. Dixit autem eis Iesus:
35 πάντοτε δὸς ἡμῖν τὸν ἄρτον τοῦτον. εἶπε δὲ αὐτοῖς ὁ Ἰησοῦς,
Ego sum panis vitæ: *veniens ad me, non [*qui venit]
ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς. ὁ ἐρχόμενος πρός με, οὐ μὴ
esuriet: & ‖credens in me, non sitiet vnquam. [‖qui credit]
πεινάσῃ· καὶ ὁ πιστεύων εἰς ἐμέ, οὐ μὴ διψήσῃ πώποτε.
Sed dixi vobis, quia & vidistis me, & non ℘creditis. [℘credidistis.]
36 ἀλλ' εἶπον ὑμῖν, ὅτι καὶ ἑωράκατέ με, καὶ οὐ πιστεύετε.
Omne quod dat mihi pater, ad me veniet: & *venien- [*eum qui venit]
37 πᾶν ὃ δίδωσί μοι ὁ πατήρ, πρὸς ἐμὲ ἥξει· καὶ τὸν ἐρχό-
tem ad me non eiiciam foras Quia descendi de
38 μενον πρός με οὐ μὴ ἐκβάλω ἔξω. ὅτι καταβέβηκα ἐκ
cælo, non vt faciam voluntatem meam, sed voluntatem
τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα
*mittentis me. Hæc ‖autem est voluntas *mit- [*eius qui misit ‖enim]
39 τοῦ πέμψαντός με. τοῦτο δέ ἐστι τὸ θέλημα τοῦ πέμ-
tentis me patris, vt omne quod dedit mihi, non perdam
ψαντός με πατρός, ἵνα πᾶν ὃ δέδωκέ μοι, μὴ ἀπολέσω
ex eo: sed *resuscitabo illud in nouissimo die. [*resuscitem]
ἐξ αὐτοῦ ἀλλὰ ἀναστήσω αὐτὸ ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ.
Hæc autem est voluntas *mittentis me, vt omnis [*Patris mei qui misit]
τοῦτο δέ ἐστι τὸ θέλημα τοῦ πέμψαντός με, ἵνα πᾶς ὁ
40 ‖videns filium, & ℘credens in eum, habeat vitam æternam: & [‖qui videt ℘credit]
θεωρῶν τὸν υἱὸν καὶ πιστεύων εἰς αὐτόν, ἔχῃ ζωὴν αἰώνιον· καὶ
resuscitabo eum ego ℘ nouissimo die. [℘in]
ἀναστήσω αὐτὸν ἐγὼ τῇ ἐσχάτῃ ἡμέρᾳ.
Murmurabant ergo Iudæi de illo, quia dixisset, Ego sum
41 †ἐγόγγυζον οὖν οἱ Ἰουδαῖοι περὶ αὐτοῦ, ὅτι εἶπεν, ἐγώ εἰμι [γογγύζω]
